διαιρεῖται ὁ λόγος εἰς πέντε· ἔστι γὰρ αὐτοῦ ὁ μὲν ῥητορικός, ὁ δὲ πολιτικός, ὁ δὲ διαλεκτικός, ὁ δὲ τεχνικός, ὁ δὲ ἰδιωτικός. ἔστι δὲ ὁ μὲν ῥητορικὸς καὶ ἐπιδεικτικὸς καὶ κατηγορικὸς καὶ ἀπολογητικός, ὁ δὲ πολιτικὸς συμβουλευτικὸς καὶ παρακλητικός, διαλεκτικὸς δὲ ὁ κατὰ βραχὺ τῷ ἐρωτᾶν ἐμφανίζων ἃ προαιρεῖται, τεχνικὸς δέ, ὃν λέγουσιν οἱ τεχνῖται ὑπὲρ τῶν κατὰ τὴν τέχνην ἑκάστου [τῶν] αὐτῶν, ἰδιωτικὸς δέ, ὃν οἱ ἰδιῶται λέγουσι πρὸς ἀλλήλους καθ' ἑκάστην ἡμέραν διαλεγόμενοι.

8 *τε* om. BF 9—12 suppl. Wendl. 10 *καὶ* om. BF *ψώγους* V 12 participium velut *γράφοντες* desiderat Wendl. 14 *δὲ* om. F 16 *δὴ* BFV: *δὲ* P 21 *διαλέγονται* HB²: om. PFV

12 *τῷ* Rose: *τοῦ* M 16 *τῶν* secl. Rose 17 *ὃν* Rose: *ὅτι* M

8 [16]ᶠ vide p. XXVI.
cf. Diog. Laert. V 28, ubi similis Aristotelis divisio affertur.

διαλέγονται τέχνης· ὃς δὴ καλεῖται τεχνικός. τοῦ λόγου ἄρα τὸ μέν ἐστι πολιτικόν, τὸ δὲ ῥητορικόν, τὸ δὲ ἰδιωτικόν, τὸ δὲ διαλεκτικόν, τὸ δὲ τεχνικόν.

9. ἡ μουσική. [60]

§ 88 ἡ μουσικὴ εἰς τρία διαιρεῖται· ἔστι γὰρ ἡ μὲν διὰ τοῦ στόματος μόνον, οἷον ἡ ᾠδή· δεύτερον δὲ διὰ τοῦ στόματος καὶ τῶν χειρῶν, οἷον ἡ κιθαρῳδία· τρίτον ἀπὸ τῶν χειρῶν μόνον, οἷον ἡ κιθαριστική. τῆς ἄρα μουσικῆς ἔστι τὸ μὲν ἀπὸ τοῦ στόματος μόνον, τὸ δὲ ἀπὸ τοῦ στόματος καὶ τῶν χειρῶν, τὸ δὲ ἀπὸ τῶν χειρῶν.

διαιρεῖται ἡ μουσικὴ εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν αὐτοῦ τοῦ στόματος ἔργον, ἓν δὲ χειρῶν καὶ στόματος, ἓν δὲ μόνον ⟨τῶν χειρῶν. τὸ μὲν οὖν⟩ αὐτοῦ τοῦ στόματος ἔργον οἷον αἵ τε ᾠδαὶ καὶ οἱ τερετισμοὶ καὶ τὰ τοιαῦτα, τῶν δὲ χειρῶν καὶ τοῦ στόματος ἥ τε χοραυλητικὴ καὶ [αὐλητικὴ] τὰ ὅμοια, τῶν δὲ χειρῶν ἡ κιθαριστικὴ καὶ τὰ τοιαῦτα.

10. ἡ εὐγένεια. [10]

διαιρεῖται δὲ ἡ εὐγένεια εἰς εἴδη τέτταρα. ἓν μέν, ἐὰν ὦσιν οἱ πρόγονοι καλοὶ κἀγαθοὶ καὶ δίκαιοι, τοὺς ἐκ τού-

διαιρεῖται ἡ εὐγένεια εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἀπὸ ἐνδόξων καὶ ὀνομαστῶν γονέων γεγονέναι, οἷον ἀπὸ

---

1 δὴ om. F 9 ἡ μὲν ἡ V 14 μόνον PQBV sed ss - P^1 vel P^2: μόνων F | κιθαριστηκή B 16 ἔστι om. F 25 ἵνα ante τοὺς BP

11 post στόματος: ἓν δὲ τῶν χειρῶν suppl. Rose 12 suppl. Wendl. 18 καὶ αὐλητική in marg. M. scr. fort. v. 19 post ἡ κιθαριστικὴ inserendum est. ἥ τε χοραυλητικὴ καὶ ⟨μον-⟩αυλητικὴ ⟨καὶ⟩ coni. Sudh.

των γεγεννημένους εὐγενεῖς φασιν εἶναι· ἄλλο δέ, ἐὰν ὦσιν οἱ πρόγονοι δεδυναστευκότες καὶ ἄρχοντες γεγενημένοι, τοὺς ἐκ τούτων εὐγενεῖς φασιν εἶναι. ἄλλο δέ, ἐὰν ὦσιν οἱ πρόγονοι ὀνομαστοί, οἷον ἀπὸ στρατηγίας, ἀπὸ στεφανιτῶν ἀγώνων· καὶ γὰρ τοὺς ἐκ τούτων γεγεννημένους εὐγενεῖς προσαγορεύο-
89 μεν. | ἄλλο εἶδος, ἐὰν αὐτός τις ᾖ γεννάδας τὴν ψυχὴν καὶ μεγαλόψυχος, καὶ τοῦτον εὐγενῆ φασὶν εἶναι· καὶ τῆς γε εὐγενείας αὕτη κρατίστη. τῆς ἄρα εὐγενείας τὸ μὲν ἀπὸ προγόνων ἐπιεικῶν, τὸ δὲ δυναστῶν, τὸ δὲ ἐνδόξων, τὸ δὲ ἀπὸ τῆς αὐτοῦ καλοκἀγαθίας.

βασιλέων καὶ ἀρχόντων [γεγονέναι] ἢ ἄλλην τινὰ δόξαν ἐχόντων· τὸ δὲ ἀπὸ σπουδαίων καὶ δικαίων, οἷον ἀπὸ Ξενοφῶντος καὶ Νείλου καὶ τῶν τοιούτων· τὸ δὲ ἀπ' αὐτῆς τῆς τοῦ ἔχοντος ἀρετῆς, οἷον ἐὰν ᾖ γενναῖος καὶ μεγαλοπρεπὴς καὶ δίκαιος καὶ τὰ ἄλλα τὰ τοιαῦτα. τῆς εὐγενείας ⟨ἄρα⟩ ἓν μέν ἐστι τὸ ἀπὸ ἐνδόξων καὶ ὀνομαστῶν προγόνων γεγονέναι, ἓν δὲ τὸ ἀπὸ σπουδαίων καὶ δικαίων, ἓν δὲ τὸ ἀπ' αὐτῆς τῆς τοῦ ἔχοντος ἀρετῆς.

---

1 *γεγεννημένους* PBF: *γεγενημένους* V 2 *φῶσιν* B² 3 post *πρόγονοι*: add. *ὀνομαστοί* sed expunxit P¹: add. *οἷον* F 4 *γεγεννημένοι* F 5 *γεγεννημένους* post *τούτων* F 7 *ἐὰν*: *ἂν* PQV 9 *στεφανητῶν* B 11 *προσαγορεύομεν*: *φασὶν εἶναι* F 15 *εὐγενεῖ* V 16 *γὲ*: *γὰρ* HB (P?): om. FV

1 *γεγονέναι* del. Chr. Jensen 5 *Νείλου*: *Νεικίου* vel *Νειλέου* (Plut. de glor. Athen. 7) vel simile aliquid olim exstitisse coni. Sudh. at cf. Wendl. Anax. p. 56² 11 *ἄρα* add. Rose

---

10 [10] vide p. XXXI. XXXIII. XXXIV¹.
Anax. Rhet. p. 81, 4 sq. Sp.-H. (de encomio docens): *ἐὰν μὲν ὦσιν οἱ πρόγονοι σπουδαῖοι* ..... p. 81, 22 sqq.: *ἐὰν δὲ μηδὲν ἀπὸ τῶν προγόνων ἔνδοξον ὑπάρχῃ, λέγε, ὡς αὐτός ἐστι γενναῖος, συμβιβάζων, ὡς εὖ γεγόνασι πάντες οἱ πρὸς τὴν ἀρετὴν εὖ πεφυκότες* (cf. Wendl. Anax. p. 55).

11. *τὸ κάλλος.* [62]

τὸ κάλλος διαιρεῖται εἰς τρία· ἓν μὲν γὰρ αὐτοῦ ἐστιν ἐπαινετόν, οἷον ἡ διὰ τῆς ὄψεως εὐμορφία· ἄλλο δὲ χρηστικόν, οἷον ὄργανον καὶ οἰκία καὶ τὰ τοιαῦτα πρὸς χρῆσίν ἐστι καλά· τὰ δὲ πρὸς νόμους καὶ ἐπιτηδεύματα καὶ τὰ τοιαῦτα πρὸς ὠφέλειάν ἐστι καλά. τοῦ ἄρα κάλλους τὸ μέν ἐστι πρὸς ἔπαινον, τὸ δὲ πρὸς χρῆσιν, τὸ δὲ πρὸς ὠφέλειαν.

διαιρεῖται τὸ κάλλος εἰς τρία· ἓν μὲν γὰρ αὐτοῦ ἐστιν ἐπαινετόν, οἷον ἡ διὰ τῆς ὄψεως εὐμορφία· ἄλλο δὲ χρηστικόν, οἷον ὄργανον καὶ οἰκία καὶ τὰ τοιαῦτα πρὸς χρῆσίν εἰσι καλά· τὰ δὲ πρὸς ὠφέλειαν, οἷον νόμος καλὸς καὶ ἐπιτηδεύματα καὶ τὰ τοιαῦτα πρὸς ὠφέλειάν εἰσι καλά.

---

3 *αὐτοῦ*: *αὐτὸ* V 8 *τὰ*: *τὸ* libri | *πρὸς*: *περὶ* coni. Wendl.: olim exstitisse puto *κατὰ* (vide locum Gorgiae)

10 fort. *ἐπιτηδεύματα* ⟨*καλὰ*⟩

---

11 [62] vide p. XX.

Plato: Gorg. p. 474 E: *οὐκοῦν καὶ τἆλλα πάντα οὕτω καὶ σχήματα καὶ χρώματα ἢ διὰ ἡδονήν τινα ἢ διὰ ὠφελίαν* (supra p. 474 D dixerat *κατὰ τὴν χρείαν*) *ἢ δι᾽ ἀμφότερα καλὰ προσαγορεύεις; . . . . . τά γε κατὰ τοὺς νόμους καὶ τὰ ἐπιτηδεύματα.*

[Hipp. mai.] p. 295 C: *τοῦτο γὰρ δὴ ἔστω ἡμῖν καλόν, ὃ ἂν χρήσιμον ᾖ.* . . . . . . p. 296 E: *τὸ ὠφέλιμον ἄρα ἔοικεν ἡμῖν εἶναι τὸ καλόν, ὦ Ἱππία;* . . . . . . p. 298 A: *τὸ καλόν ἐστι τὸ δι᾽ ἀκοῆς τε καὶ ὄψεως ἡδύ . . . . . . τί δ᾽ ἄρα; τὰ ἐπιτηδεύματα τὰ καλὰ καὶ τοὺς νόμους, ὦ Ἱππία, δι᾽ ἀκοῆς ἢ δι᾽ ὄψεως φήσομεν ἡδέα ὄντα καλὰ εἶναι κτλ.* (cf. Resp. X p. 601 D).

Aristoteles: Probl. p. 896 b 22: *τὸ μὲν οὖν πρὸς χρείαν τινὰ καλόν, οὗ καὶ μάλιστα ἐπιθυμοῦμεν, τοῦτο δοκεῖ ἥδιστον εἶναι κτλ.* — Eth. Eud. p. 1248 b 16: *ἔστι δὴ τὸ ἀγαθὸν εἶναι καὶ τὸ καλὸν κἀγαθὸν οὐ μόνον κατὰ τὰ ὀνόματα, ἀλλὰ κατ᾽ αὐτὰ ἔχοντα διαφοράν. τῶν γὰρ ἀγαθῶν πάντων τέλη ἐστίν, ἃ αὐτὰ αὑτῶν ἕνεκά ἐστιν αἱρετά. τούτων δὲ καλά, ὅσα δι᾽ αὑτὰ ὄντα πάντα ἐπαινετά ἐστιν κτλ.* — cf. quoque div. 23 [36] et divisiones p. XXIV sq.

12. ἡ ψυχή. [1]

ἡ ψυχὴ διαιρεῖται εἰς τρία· τὸ μὲν γὰρ αὐτῆς ἐστι λογιστικόν, τὸ δὲ ἐπιθυμητικόν, τὸ δὲ θυμικόν. τούτων δὲ τὸ μὲν λογιστικόν ἐστιν αἴτιον τοῦ βουλεύεσθαί τε καὶ λογίζεσθαι καὶ διανοεῖσθαι καὶ τῶν τοιούτων πάντων· τὸ δὲ ἐπιθυμητικὸν μέρος τῆς ψυχῆς ἐστιν αἴτιον τοῦ ἐπιθυμεῖν φαγεῖν καὶ

διαιρεῖται ἡ ψυχὴ εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν λογιστικόν, ἓν δὲ θυμικόν, ἓν δὲ ἐπιθυμητικόν. ἔστι δὲ τὸ μὲν λογιστικόν, ᾧ λογιζόμεθα· τὸ δὲ ἐπιθυμητικόν, ᾧ τὰς ἐπιθυμίας ἀναλαμβάνομεν· τὸ δὲ θυμικόν, ᾧ θυμούμεθα καὶ ὀργιζόμεθα καὶ θαρσοῦμεν καὶ ἀμυνόμεθα καὶ τὰ ἄλλα τὰ τοιαῦτα. τῆς

---

4 λογιστικόν PB: λογικόν FV 6 λογιστικόν PBV: λογικόν F 7 τε om. V 9 πάντων τῶν τοιούτων B 10 μέρος ἐστὶ τῆς ψυχῆς B: μέ$\overset{ρ}{λ}$ος (sic) V

---

12 [1] vide p. X⁴. XIX. XX³. XXII. XXVI.

Plato: Resp. IV p. 439 DE: τὸ μὲν ᾧ λογίζεται λογιστικὸν προσαγορεύοντες τῆς ψυχῆς, τὸ δὲ .... ἐπιθυμητικόν, πληρώσεών τινων καὶ ἡδονῶν ἑταῖρον. .... τὸ δὲ δὴ τοῦ θυμοῦ καὶ ᾧ θυμούμεθα. — idem: Resp. VIII p. 550 B (τὸ θυμοειδές). IX p. 571 D—572 A (τὸ θυμοειδές). Resp. IV p. 436 A. IX p. 580 D. Phaedr. p. 246 A sqq. (bigarum metaphora) et 253 C. — vide Raeder l. l. p. 215 et Lutoslawski l. l. p. 279.

[Aristoteles] de virt. et vit. p. 1249 a 30: τριμεροῦς δὲ τῆς ψυχῆς λαμβανομένης κατὰ Πλάτωνα, τοῦ μὲν λογιστικοῦ ἀρετή ἐστιν ἡ φρόνησις, τοῦ δὲ θυμοειδοῦς ἥ τε πραότης καὶ ἡ ἀνδρεία, τοῦ δὲ ἐπιθυμητικοῦ ἥ τε σωφροσύνη καὶ ἡ ἐγκράτεια, ὅλης δὲ τῆς ψυχῆς ἥ τε δικαιοσύνη καὶ ἡ ἐλευθεριότης καὶ ἡ μεγαλοψυχία.

cf. Epiph. in Doxogr. p. 591, 19 Diels. Iambl. Protr. p 30, 13 sqq. Pist. (vide p. XXXIX). Metopum Pythag. apud Stob. Flor. I 64 p. 19, 31 sqq. Mein. (cf. ad hunc locum Doxogr. p. 389, 10 Diels; vide p. XXXVIII). Theag. Pyth. ap. Stob. Flor. I 67 p. 23. 7 Mein. (vide p. XXXVIII).

De Posidonio vide Schmekel, Die Philos. der mittleren Stoa p. 257 sqq.

τοῦ πλησιάσαι καὶ τῶν τοιούτων πάντων. τὸ δὲ θυμικὸν μέρος αἴτιόν ἐστι τοῦ θαρρεῖν καὶ ἥδεσθαι καὶ λυπεῖσθαι καὶ ὀργίζεσθαι. τῆς ἄρα ψυχῆς ἐστι τὸ μὲν λογιστικόν, τὸ δὲ ἐπιθυμητικόν, τὸ δὲ θυμικόν.

ψυχῆς ἄρα τὸ μέν ἐστι λογιστικόν, τὸ δὲ θυμικόν, τὸ δὲ ἐπιθυμητικόν.

13. ἡ ἀρετή. [2]

τῆς τελείας ἀρετῆς εἴδη ἐστὶ τέτταρα· ἓν μὲν φρόνησις, ἓν δὲ δικαιοσύνη, ἄλλο

διαιρεῖται ἡ ἀρετὴ εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν φρόνησις, ἓν δὲ δικαιο-

---

2 post τοιούτων add. πάντων B: in marg. P: om. V πάντων F (sec. Mart. F praebet τοιούτων) 4 καὶ ἡδ. — λυπ. susp. Wendl. (at cf. locum Platon.) 6 λογιστικόν BPV: λογικόν F 11 ἐστὶ om. PB | ἓν μὲν om. F 12 ἓν δὲ om. F | ἄλλο δὲ om. F

10 διαίρεσις ἀρετῆς: διαιρεῖται etc. M

---

13 [2] vide p. XIV. XIX. XXIX[2].

Plato: Rep. IV p. 427 E: οἶμαι ἡμῖν τὴν πόλιν, εἴπερ ὀρθῶς γε ᾤκισται, τελέως ἀγαθὴν εἶναι .... δῆλον δὴ ὅτι σοφή τ' ἐστὶ καὶ ἀνδρεία καὶ σώφρων καὶ δικαία. — idem: Resp. IV 445 C. Phaed. 69 BC. Legg. I p. 630 B et saepe alias. — vide Resp. IV p. 443 C sqq.: ubi virtutes distribuuntur secundum partes animae (cf. Zeller, Philos. d. Griech. II 1[4] p. 884), sicut in codice Marc. (idem Metopus ap. Stob. Flor. I 64 p. 20, 7 sqq. Mein. et Theag. I 67 p. 23, 15 sqq. Mein. vide p. XXXVIII).

Aristoteles: cf. locum (de virt. et vit. p. 1249 a 30) ad div. 12 [1] exscriptum. — aliter: Pol. 1260 a 27. Rhet. I 9 p. 1366 b 1.

cf. Albin. c. 29 (Platonis dialogi ed. Hermann VI p. 182). Apul. de dogm. Plat. II 6 (Hobein, De Maximo Tyrio Ienae 1895). Seneca ep. 120, 10. 11: perfectam virtutem. Cicero saepissime.

δ' ἀνδρεία, τέταρτον σωφρο-
91 σύνη. | τούτων ἡ μὲν φρόνησις αἰτία τοῦ πράττειν ὀρθῶς τὰ πράγματα· ἡ δὲ δικαιοσύνη τοῦ ἐν ταῖς κοινωνίαις καὶ τοῖς συναλλάγμασι δικαιοπραγεῖν· ἡ δὲ ἀνδρεία τοῦ ἐν τοῖς κινδύνοις καὶ φοβεροῖς μὴ [ἐξίστασθαι] τρεῖν, ἀλλὰ μένειν· ἡ δὲ σωφροσύνη τοῦ κρατεῖν τῶν ἐπιθυμιῶν καὶ ὑπὸ μηδεμιᾶς ἡδονῆς δουλοῦσθαι, ἀλλὰ κοσμίως ζῆν. τῆς ἀρετῆς ἄρα τὸ μέν ἐστι φρόνησις, ἄλλο δικαιοσύνη, τρίτον ἀνδρεία, τέταρτον σωφροσύνη.

σύνη, ἓν δὲ ἀνδρεία, ἓν δὲ σωφροσύνη. ἔστι δὲ ἡ μὲν φρόνησις ἐν τῷ λογιστικῷ, ἡ δὲ δικαιοσύνη ἐν πᾶσι τούτοις τοῖς μέρεσι γίνεται, ἡ δὲ ἀνδρεία ἐν τῷ θυμικῷ, ἡ δὲ σωφροσύνη ἐν τῷ ἐπιθυμητικῷ. τῆς ἀρετῆς ἄρα ἓν μέν ἐστι φρόνησις, ἓν δὲ δικαιοσύνη, ἓν δὲ ἀνδρεία, ἓν δὲ σωφροσύνη.

14. ἡ ἀρχή. [63] et [51]

ἡ ἀρχὴ διαιρεῖται εἰς μέρη πέντε· ἓν μὲν εἰς τὸ κατὰ νόμον, ἓν δὲ εἰς τὸ κατὰ φύ-

διαιρεῖται ἡ ἀρχὴ εἰς μέρη πέντε· ἓν μὲν εἰς τὸ κατὰ νόμον, ἓν δὲ εἰς τὸ κατὰ

---

1 τέταρτον: καὶ F 7 ἀνδρία F 9 τρεῖν Sudhaus: ποιεῖν libri. del. Cobet. πτοίᾳ coni. Wendl. | ἐξιστ. ut glossema verbi τρεῖν del. Sudh. 15 ἄλλο: τὸ δὲ F 20 εἰς corr. P[2]

---

14 [63] et [51] vide p XXXII.
Plato: cf. Legg. III p. 690 A sqq.: ubi septem ἀρχῆς genera enumerantur. — Gorg. 483 D: δηλοῖ δὲ ταῦτα καὶ πολλαχοῦ ὅτι οὕτως ἔχει, καὶ ἐν τοῖς ἄλλοις ζῴοις καὶ τῶν ἀνθρώπων ἐν ὅλαις ταῖς πόλεσι καὶ τοῖς γένεσιν, ὅτι οὕτω τὸ δίκαιον κέκριται, τὸν κρείττω τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν.
ad [51] cf. 18 [48] (vide p. XXXI).

σιν, ἓν δὲ εἰς τὸ κατὰ ἔθος, τέταρτον δὲ εἰς τὸ κατὰ γένος, πέμπτον δὲ εἰς τὸ κατὰ
§ 92 βίαν. | οἱ μὲν οὖν ἐν ταῖς πόλεσιν ἄρχοντες ὑπὸ τῶν πολιτῶν ἐπὰν αἱρεθῶσι, κατὰ νόμον ἄρχουσιν· οἱ δὲ κατὰ φύσιν, οἷ⟨ον οἱ⟩ ἄρσενες, οὐ μόνον ἐν τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ζῴοις· ἐπὶ πολὺ γὰρ πανταχοῦ τὰ ἄρσενα τῶν θηλειῶν ἄρχει· ἡ δὲ τοῦ κατὰ ἔθος ἀρχὴ τοιαύτη ἐστίν, οἵαν οἱ παιδαγωγοὶ τῶν παίδων ἄρχουσι καὶ οἱ διδάσκαλοι τῶν φοιτώντων. κατὰ γένος δὲ ἀρχὴ τοιαύτη τις λέγεται, οἵαν οἱ Λακεδαιμόνιοι βασιλεῖς ἄρχουσιν· ἀπὸ γὰρ γένους τινὸς ἡ βασιλεία. καὶ ἐν Μακεδονίᾳ δὲ τὸν αὐτὸν τρόπον ἄρχουσι· καὶ γὰρ ἐκεῖ ἀπὸ γένους ἡ βασιλεία καθίσταται. οἱ δὲ βιασάμενοι ἢ παρακρουσάμενοι ἄρχουσιν ἀκόντων τῶν πολιτῶν, ἡ τοιαύτη ἀρχὴ κατὰ βίαν λέγεται εἶναι.

2 δὲ om. B 3 εἰς τὸ om. PB 7 νόμους F 8 ἄρρενες B | ⟨ ⟩ suppl. Sudh. 10 ἄλλοις PBV: ἀλόγοις F 12 ἄρρενα BV | θηλείων B 22 δὲ: γὰρ F 25 οἱ δὲ BPF: εἰ δὲ V | ἢ PB in ras.: om. F

φύσιν, ἓν δὲ εἰς τὸ κατὰ ἔθος, ἓν δὲ εἰς τὸ κατὰ γένος, πέμπτον δὲ εἰς τὸ κατὰ βίαν. οἱ μὲν οὖν ἐν ταῖς πόλεσιν ἄρχοντες ὅταν ὑπὸ τῶν πολιτῶν αἱρεθῶσιν, οὗτοι κατὰ νόμον ἄρχουσιν. ἡ δὲ τοῦ κατὰ φύσιν ἀρχὴ οὐ μόνον ἐν τοῖς ἀνθρώποις ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ζῴοις ἐστίν· ἐπὶ πολὺ γὰρ πανταχοῦ τὰ ἄρρενα τῶν ζῴων τῶν θηλειῶν ἄρχει. ἡ δὲ τοῦ κατὰ ἔθος ἀρχὴ τοιαύτη ἐστίν, οἷον οἱ παιδαγωγοὶ τῶν παίδων ἄρχουσι καὶ οἱ διδάσκαλοι τῶν φοιτητῶν. κατὰ γένος δὲ ἀρχὴ τοιαύτη τις λέγεται, ὅταν πατέρα βασιλέα τελευτήσαντα υἱὸς διαδέξηται καὶ πάλιν τοῦτον ὁ τούτου υἱὸς καὶ ἐφεξῆς δὲ ὡσαύτως. ὅσοι δὲ βιασάμενοι ἄρχουσιν ἀκόντων τῶν πολιτῶν, ἡ τοιαύτη ἀρχὴ κατὰ βίαν λέγεται εἶναι.

διαιρεῖται ἡ ἀρχὴ εἰς τρία· [51
ἔστι γὰρ αὐτῆς ἓν μὲν κατὰ

15 οἵαν olim Wendl. 20 διαδέξηται Wendl.: διαδέξεται M 24 τῶν πολιτῶν (coll. Diog. L.): αὐτῶν M 27 τρία Rose: τέσσαρα M

τῆς ἀρχῆς ἄρα ἐστὶ τὸ μὲν κατὰ νόμον, τὸ δὲ κατὰ φύσιν, τὸ δὲ κατὰ ἔθος, τὸ δὲ κατὰ γένος, τὸ δὲ κατὰ βίαν.

φύσιν, ἓν δὲ κατὰ βίαν, ἓν δὲ κατὰ τάξιν καὶ θέσιν. κατὰ φύσιν μὲν οὖν ἄρχει τὸ ἄρρεν τοῦ θήλεος καὶ τὸ ἰσχυρότερον τοῦ ἀσθενεστέρου, οἷον ἐν μὲν βουσὶ ταῦρος, ἐν δὲ προβάτοις κριὸς καὶ πάντα τὰ τοιαῦτα· ⟨κατὰ βίαν δέ⟩, οἷον οἱ δεσπόται τῶν δούλων καὶ οἱ τύραννοι τῶν πόλεων καὶ πάντα τὰ τοιαῦτα· κατὰ τάξιν δὲ καὶ θέσιν, οἷον τὸ πρῶτον ταχθέν· ἐντεῦθεν ἀρχή ἐστι τῆς μὲν τραγῳδίας 'ὦ παλαιὸν Ἄργος', τῶν δὲ στοιχείων τὸ ἄλφα καὶ ἀριθμοῦ τὸ ἕν.

15. ἡ ῥητορεία. [17]

93 τῆς ῥητορείας εἴδη ἐστὶν ἕξ. ὅταν μὲν γὰρ κελεύωσι πολεμεῖν ἢ συμμαχεῖν πρός

διαιρεῖται ἡ ῥητορεία εἰς πέντε· ἔστι γὰρ αὐτῆς ἓν μὲν κατηγορία, ἓν δὲ ἀπολογία,

19 ἐστὶν om. F

8 κατὰ βίαν δὲ add. Rose 13 ταχθέν: τεχθέν M 15 Ἄργος Rose (coll. Eurip. Electra): ἄρτος M 16 ἀριθμῶν coni. Wendl. 19 ῥη^τ M: ῥητορεία Rose (coll. Diog. L.)

15 [17] vide p. XIII. XXXIV[1].
Aristoteles: Rhet. I 3 p. 1358 b 6 sqq.: .... *ὥστ' ἐξ ἀνάγκης ἂν εἴη τρία γένη τῶν λόγων τῶν ῥητορικῶν, συμβουλευτικόν, δικανικόν, ἐπιδεικτικόν. συμβουλῆς δὲ τὸ μὲν προτροπή, τὸ δὲ ἀποτροπή· ...... δίκης δὲ τὸ μὲν κατηγορία, τὸ δὲ ἀπολογία· ...... ἐπιδεικτικοῦ δὲ τὸ μὲν ἔπαινος, τὸ δὲ ψόγος.*
cf. Anax. p. 12, 15 sqq. Sp.-H., quocum conferas Quint. III 4, 9.

τινα, καλεῖται τὸ τοιοῦτον εἶδος προτροπή· ὅταν δὲ ἀξιῶσι μὴ πολεμεῖν μηδὲ συμμαχεῖν, ἀλλὰ ἡσυχίαν ἄγειν, τὸ τοιοῦτον εἶδος ἀποτροπή ἐστι. τρίτον εἶδος τῆς ῥητορείας, ὅταν τις φάσκῃ ἀδικεῖσθαι ὑπό τινος καὶ πολλῶν κακῶν αἴτιον ἀποφαίνῃ· τὸ δὴ τοιοῦτον εἶδος κατηγορία ὀνομάζεται. τέταρτον εἶδος τῆς ῥητορείας [ἀπολογία καλεῖται], ὅταν ἀποφαίνῃ τις αὐτὸν μηθὲν ἀδικοῦντα μήτε ἄλλο ἄτοπον μηθὲν πράττοντα· τὸ δὴ τοιοῦτον

§ 94 ἀπολογίαν καλοῦσι. | πέμπτον εἶδος ῥητορείας, ὅταν τις εὖ λέγῃ καὶ ἀποφαίνῃ καλὸν κἀγαθόν· τὸ δὴ τοιοῦτον εἶδος καλεῖται ἐγκώμιον. ἕκτον εἶδος, ὅταν τις ἀποφαίνῃ ἓν δὲ συμβουλία, ἓν δὲ ἐγκώμιον, ἓν δὲ ψόγος.

---

3 μηδὲ: μὴ BV 5/6 ἐστὶν ἀποτροπή B 6/7 ῥητορικῆς F 7 φάσκει FV: φάσκῃ em. B m. 2 ex ει 9 ἀποφαίνῃ em. B: ἀποφαίνει V 10 δὴ om. PQ: add. P³ 11 ὀνομάζεται: ἀποφαίνεται F 12 ἀπολ. καλ. secl. Cobet. 13 ἀποφαίνει HV 14 τις om. P | αὑτὸν P: cett. αὐτὸν 15 μηδὲ coni. Wendl. 16 δὴ: δὲ libri 19 λέγει, η al. atr. ss. H, in ras. V | τινὰ add. Cob. post λέγῃ 22 post ἀποφαίνῃ Cob. add. τινὰ

φαῦλον· τὸ δὴ τοιοῦτον εἶδος καλεῖται ψόγος. τῆς ἄρα ῥητορείας ἐστὶ τὸ μὲν ἐγκώμιον, τὸ δὲ ψόγος, τὸ δὲ προτροπή, τὸ δὲ ἀποτροπή, τὸ δὲ κατηγορία, τὸ δὲ ἀπολογία.

16. τὸ ὀρθῶς λέγειν. [52]

τὸ ὀρθῶς λέγειν διαιρεῖται εἰς τέτταρα· ἓν μὲν ἃ δεῖ λέγειν, ἓν δὲ ὅσα δεῖ λέγειν, τρίτον πρὸς οὓς δεῖ λέγειν, τέταρτον δὲ πηνίκα λέγειν δεῖ. ἃ μὲν οὖν δεῖ λέγειν, ἃ μέλλει συμφέρειν τῷ λέγοντι καὶ τῷ ἀκούοντι· τὸ δὲ ὅσα δεῖ λέγειν, μὴ πλείω μηδὲ ἐλάττω τῶν ἱκα-
§ 95 νῶν. | τὸ δὲ πρὸς οὓς δεῖ λέγειν, ἐάν τε πρὸς πρεσβυτέρους ἁμαρτάνοντας διαλέγῃ,

διαιρεῖται τὸ ὀρθῶς λέγειν εἰς πέντε· ἔστι γὰρ αὐτοῦ ἓν μὲν ὅσα δεῖ λέγειν, ἓν δὲ ὅπου δεῖ λέγειν, ἓν δὲ πρὸς οὓς δεῖ λέγειν, ἓν δὲ ἡνίκα δεῖ λέγειν, ἓν δὲ ἃ δεῖ λέγειν. τὸ μὲν οὖν ὅσα δεῖ λέγειν ἐστὶ τὸ μήτε πλείω μήτε ἐλάσσω τῶν ἱκανῶν, τὸ δὲ ὅπου δεῖ λέγειν ἐστὶν ἐν τόπῳ, οἷον ἐν ἀγορᾷ καὶ ἐν γυμνασίῳ καὶ ἐν διατριβῇ καὶ ἐν τοῖς δέουσιν ἄλλοις

---

1 *δὴ*: *δὲ* libri 9—12 et ubique olim *τὸ ἃ δεῖ λ.* exstitisse puto 10 *ἓν δὲ*: *δεύτερον* F 14 *μέλει* V 15 *τῷ* alt. om. V 19 *ἐάν*: *ἄν* B in ras. 20 *ἁμαρτάνοντας* del. Menagius ut dittographiam | *διαλέγη* F

---

16 [52] vide e. gr. Plato Protag. 314 A: .. *ὅ τι τε ἐδεστέον ἢ ποτέον καὶ ὅ τι μή, καὶ ὁπόσον καὶ ὁπότε.* Phaedr. 268 B. 272 A. 275 E et saepe alias. (Talia sunt categoriarum tabulae Aristotelicae praelusiones. cf. Zeller II 2 p. 267[3].)

Cic. orat. § 43: quoniam tria videnda sunt oratori: quid dicat et quo quidque loco et quo modo, dicendum omnino est quid sit optimum in singulis, sed aliquanto secus atque in tradenda arte (*τέχνη*!) dici solet.

ἁρμόττοντας δεῖ τοὺς λόγους διαλέγεσθαι ὡς πρεσβυτέροις· ἐάν τε πρὸς νεωτέρους, ἁρμόττοντας δεῖ λέγεσθαι ὡς νεωτέροις. πηνίκα δὲ λέγειν ἐστὶ μήτε πρότερον μήτε ὕστερον· εἰ δὲ μή, διαμαρτήσεσθαι καὶ κακῶς ἐρεῖν.

τόποις, τὸ δὲ πρὸς οὓς δεῖ λέγειν ἑκάστῳ τὸ ἁρμόττον [καὶ πρὸς ὃν ὃ ἁρμόττει], οἷον πρὸς πρεσβυτέρους ⟨ἢ νεωτέρους καὶ⟩ πρὸς μοχθηροὺς ἢ ἡδεῖς καὶ πρὸς ἐχθροὺς ἢ φίλους, τὸ δὲ ἡνίκα δεῖ, οἷον τὸ μήτε πρότερον μήτε ὕστερον μήτε διὰ μέσου ἄτερ τοῦ καιροῦ λέγειν, ἀλλ' ἐγκαίρως, τὸ δὲ ἃ δεῖ λέγειν οἷον τὰ συμφέροντα καὶ ὠφέλιμα καὶ αὐτῷ καὶ τῷ φίλῳ.

17. ἡ εὐεργεσία. [44]

ἡ εὐεργεσία διαιρεῖται εἰς τέτταρα· ἢ γὰρ χρήμασιν ἢ σώμασιν ἢ ταῖς ἐπιστήμαις ἢ τοῖς λόγοις. τοῖς μὲν οὖν χρήμασιν, ὅταν δεομένῳ παραβοηθήσῃ τις εἰς χρημάτων

διαιρεῖται ἡ εὐεργεσία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν λόγῳ εὐεργετεῖν, ἓν δὲ δι' ἐπιστήμης καὶ τεχνῶν, ἓν δὲ εἰς ἀργυρίου λόγον καὶ ἓν διὰ σωμάτων. διὰ λόγων

---

2 ὡς πρεσβυτέροις om. B 3 ἄν B in ras. | πρὸς om. F 4 δεῖ λέγεσθαι om. F 6 προτέρῳ PV: προτέρω B | ὑστέρῳ PV: ὑστέρω B 8 κακῶς: οὐκ ὀρθῶς BF 16 τέσσαρα FV 19 βοηθήσῃ Cob. 20 εἰς χρημάτων λόγον et εἰς τὸ εὐπορῆσαι olim varias recensiones fuisse censet Wendl.

3 del. Wendl. 4 suppl. Wendl. 10 λέγειν om. Rose 11 εὐκαίρως scripsit Rose, qui falso legerat ἐσκαίρως

---

17 [44] vide p. XXXI.
haec divisio valde alludit ad div. 20: φιλανθρωπίας (cf. div. [32]).
vide Anax. p. 94, 8 sqq. (Wendl. Anax. p. 62).

*λόγον εὐπορῆσαι· τοῖς δὲ
σώμασιν εὖ ποιοῦσιν ἄλλους,
ὅταν παραγενόμενοι τυπτο-
96 μένοις παραβοηθῶσιν· | οἱ
δὲ παιδεύοντες καὶ ἰατρεύοντες καὶ διδάσκοντες ἀγαθόν τι, οὗτοι ταῖς ἐπιστήμαις εὐεργετοῦσιν· ὅταν δὲ εἰσέλθωσιν εἰς δικαστήριον ἄλλος ὑπὲρ ἄλλου βοηθὸς καὶ λόγον τινὰ ἐπιεικῆ εἴπῃ ὑπὲρ αὐτοῦ, οὗτος δὴ λόγῳ εὐεργετεῖ. τῆς ἄρα εὐεργεσίας ἡ μέν ἐστι διὰ χρημάτων, ἡ δὲ διὰ σωμάτων, ἡ δὲ διὰ ἐπιστημῶν, τετάρτη δὲ διὰ λόγων.*

οὖν εὐεργετοῦσιν οἱ συνηγοροῦντες καὶ συνδικάζοντες καὶ ἐγκωμιάζοντες καὶ οἱ τοιοῦτοι, δι᾽ ἐπιστήμης δὲ καὶ τέχνης οἱ παιδεύοντες καὶ ἰατρεύοντες καὶ οἱ ⟨τὰ⟩ πρὸς τὸν βίον χρήσιμα δημιουργοῦντες, εἰς ἀργυρίου δὲ λόγον οἱ προιστάμενοι τῆς [εἰς] ἀργυρίου χρείας, διὰ τῶν σωμάτων δὲ εὐεργετοῦσιν οἱ ἀμύνοντες καὶ βοηθοῦντες ⟨τυπτομένοις καὶ⟩ ἐν τοῖς τοιούτοις συμπτώμασι.

18. *τὸ τέλος τῶν πραγμάτων — αἱ αἰτίαι.* [48]

διαιρεῖται τὸ τέλος τῶν πραγμάτων εἰς τέτταρα εἴδη· ἓν μὲν κατὰ νόμον τέλος τὰ πράγματα λαμβάνει, ὅταν ψήφισμα γένηται καὶ τοῦθ᾽ ὁ νόμος τελέσῃ· κατὰ φύσιν δὲ τέλος τὰ πράγματα λαμ-

ἕκαστον τῶν ὄντων ἀποτελεῖται διὰ τέσσαρας αἰτίας· ἢ γὰρ διὰ [τὸ περὶ χρηστὴν ὑπάρχειν ἀπρόσδεκτον] τύχην ἢ δι᾽ ἐπιστήμην ἢ διὰ φύσιν ἢ διὰ βίαν καὶ ἀνάγκην. τὰ μὲν διὰ τύχην ἐστὶ τὸ ἀπὸ

2 *ἄλλους* B: *ἀλλήλους* ceteri 4 *βοηθοῦσι* F Cob. 7 *ἀγαθὸν τοιοῦτοι δὲ ταῖς* B: *δὲ* post *οὗτοι* eras. F 11 *ἐπιεικῆ* om. F 12 *ὑπὲρ αὐτοῦ* ante *εἴπῃ* BF 20 *τέσσαρα* V 21 *νόμους* B 24 *τελέσει* B

6 add. Wendl. coll. p. 27, 10 9 *εἰς* del Wendl. 12 locum e. g. suppl.; secundum Sudh. fort. continuabatur *καὶ περιπίπτουσ⟩ιν* 22 *ἀπρόσδεκτον* M: *ἀπροσδόκητον* coni. Rose. verba uncis inclusa nota marginalis sunt. *ἀεὶ* pro *περὶ* coni. Wendl.

βάνει, ⟨οἷον⟩ ἥ τε ἡμέρα καὶ ὁ ἐνιαυτὸς καὶ αἱ ὧραι. κατὰ τέχνην δὲ τέλος τὰ πράγματα λαμβάνει, οἷον ἡ οἰκοδομική. οἰκίαν γὰρ [τις] ἐπιτελεῖ· καὶ ἡ ναυπηγική· πλοῖα γάρ. |
§ 97 *κατὰ τύχην δὲ γίνεται τοῖς πράγμασι τέλος, ὅταν ἄλλως καὶ μὴ ὡς ὑπολαμβάνει τις ἀποβαίνῃ. τοῦ τέλους ἄρα τῶν πραγμάτων τὸ μὲν κατὰ νόμον, τὸ δὲ κατὰ φύσιν, τὸ δὲ κατὰ τέχνην, τὸ δὲ κατὰ τύχην ἐστίν.*

ταὐτομάτου καὶ ἄνευ προνοίας ἀποτελούμενον, τὰ δὲ δι᾽ ἐπιστήμην αἵ τε οἰκίαι καὶ αἱ νῆες καὶ πάντα τὰ τοιαῦτα, τὰ δὲ διὰ φύσιν, οἷον οἱ ἄνθρωποι καὶ τὰ δένδρα καὶ τὰ ζῷα πάντα, διὰ δὲ βίαν καὶ ἀνάγκην, οἷον αἱ τῶν ἀλόγων ζῴων δαμάσεις καὶ αἱ κρατήσεις καὶ δεσποτεῖαι καὶ τυραννίδες καὶ τὰ τοιαῦτα.

---

2 *ἡ ὧρα* B 4 *ἡ* om. F 9 *ὑπολαμβάνῃ* PBV

1 *ἄνευ* scripsi: *ἀπὸ* M

---

18 [48] vide p. XI sq. et Wendl. Anax. p. 34².

Plato: Legg. X p. 888E: *λέγουσί πού τινες, ὡς πάντα ἐστὶ τὰ πράγματα γιγνόμενα καὶ γενόμενα καὶ γενησόμενα τὰ μὲν φύσει, τὰ δὲ τύχῃ, τὰ δὲ διὰ τέχνην* .... 889E: *τέχνῃ οὐ φύσει, ἀλλά τισι νόμοις .... τέχνῃ καὶ τοῖς νόμοις.* 890D: *νόμῳ κα τέχνῃ* (cf. Protag. 323CD. Legg. IV 709AB e. a.).

Aristoteles: Eth. Nic. p. 1112 a 32: *αἰτίαι γὰρ δοκοῦσιν εἶναι φύσις καὶ ἀνάγκη καὶ τύχη, ἔτι δὲ νοῦς καὶ πᾶν τὸ δι᾽ ἀνθρώπου.* — Eth. Nic. p. 1135 a 24 sqq.: *εἰδὼς ..... κατὰ συμβεβηκός* (i. e. *τύχῃ*) ...... *βίᾳ* ...... *φύσει.* — Eth. Nic. p. 1140 a 14 sqq.: .... *ἐξ ἀνάγκης* .... *κατὰ φύσιν* ..... *ἡ τύχη* .... *ἡ τέχνη.* — adde Stob. I p. 87/8 W: *Ἀριστοτέλης* ...... *αἰτίας δὲ τέτταρας ἐν τοῖς ὅλοις, καθ᾽ ἃς ἅπαντα συνίσταται: νοῦν φύσιν ἀνάγκην τύχην* (cf. p. XII¹).

Diotogenes apud Stob. II p. 135, 6 Mein. (vide p. XXXVII): *Διωτογένεος Πυθαγορείου ἐκ τοῦ Περὶ ὁσιότατος: ἐπεὶ γὰρ τέτορες αἰτίαι τὰ σύμπαντα περαίνοντι καὶ ἐπὶ τέλος ἐπιτίθεντι: φύσις καὶ νόμος καὶ τέχνα καὶ τύχα κτλ.*

(cf. Max. Tyr. 11, 4. Hobein p. 53.)

Iamblichi Protrept. p. 49, 9 sqq. Pist: *ὅσα γὰρ μήτε διὰ*

19. *ἡ δύναμις.* [33]

ἡ δύναμις διαιρεῖται εἰς τέτταρα εἴδη· ἓν μὲν ὃ δυνάμεθα τῇ διανοίᾳ, ⟨οἷον⟩ λογίζεσθαι καὶ ὑπονοεῖν· ἕτερον δὲ τῷ σώματι, οἷον πορεύεσθαι καὶ διδόναι καὶ λαμβάνειν καὶ τὰ τοιαῦτα· τρίτον ὃ δυνάμεθα πλήθει στρατιωτῶν καὶ χρημάτων, ὅθεν καλεῖται πολλὴν δύναμιν ἔχων βασιλεύς· τετάρτη δὲ διαίρεσις δυνάμεως πάσχειν καὶ ποιεῖν εὖ καὶ κακῶς· οἷον ἀρρωστεῖν καὶ παιδεύεσθαι

διαιρεῖται ἡ δύναμις εἰς πέντε· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν ψυχῇ, ἓν δὲ ἐν σώματι, ἓν δὲ ἐν ταῖς πράξεσιν, ἓν δὲ ἐν ἐνίοις τῶν μὴ ὄντων, ἓν δὲ ἐν τῷ παθεῖν ἢ ποιῆσαι. ἐν ψυχῇ μὲν ἃ μανθάνομεν καὶ διανοούμεθα, ἐν σώματι δὲ οἷον αἵ τε κινήσεις καὶ αἱ ἄλλαι δυνάμεις, καθ' ἃς πράττειν τι [ἐν] τῷ σώματι δυνάμεθα, ἐν δὲ ταῖς πράξεσιν οἷον αἱ στρατιωτικαὶ δυνάμεις· λέγεται γὰρ

---

4 *οἷον* add. Menagius 5 *διαλογίζεσθαι* F 9 *πλήθει*: *ει* in ras. B: *πλήθη* F 14 *εὐ ποιεῖν* libri

6 *ἐν ἑνὶ ὀστῶν μὴ ὄντων* M: corr. Rose

τέχνην μήτε διὰ φύσιν μητ' ἐξ ἀνάγκης γίγνεται, τὰ πολλὰ τούτων διὰ τύχην γίγνεσθαί φαμεν.
cf. Gorg. Helen. p. 680 B. Polos in Plat. Gorg. 448 C. Agathon Frgmt. 6. 8.
cf. div. [51] [54].

---

19 [33] Haec divisio videtur e pannis Platonicis et Aristotelicis consuta esse. Primae tres partes sunt sumptae e bonorum tripartitione (= div. 1 [5] cf. p. XXXI).

vide quoque Met. p. 1046 a 4: *ὅτι μὲν οὖν πολλαχῶς λέγεται ἡ δύναμις καὶ τὸ δύνασθαι, διώρισται ἡμῖν ἐν ἄλλοις. . . . . καθάπερ ἐν γεωμετρίᾳ καὶ δυνατὰ καὶ ἀδύνατα λέγομεν τῷ εἶναι πῶς ἢ μὴ εἶναι . . . . πάλιν δ' αὗται αἱ δυνάμεις λέγονται ἢ τοῦ μόνον ποιῆσαι ἢ τοῦ παθεῖν ἢ τοῦ καλῶς . . . . μία δύναμις τοῦ ποιεῖν καὶ πάσχειν . . . . .* a 36: *ἐπεὶ δ' αἱ μὲν ἐν τοῖς ἀψύχοις ἐνυπάρχουσιν ἀρχαὶ τοιαῦται, αἱ δ' ἐν τοῖς ἐμψύχοις καὶ ἐν ψυχῇ καὶ ψυχῆς ἐν τῷ λόγον ἔχοντι . . . .*

δυνάμεθα καὶ ὑγιεῖς γίνεσθαι καὶ πάντα τὰ τοιαῦτα. τῆς ἄρα δυνάμεως ἡ μέν ἐστιν ἐν διανοίᾳ, ἡ δὲ ἐν τῷ σώματι, ἡ δὲ ἐν στρατοπέδῳ καὶ χρήμασιν, ἡ δὲ ἐν τῷ ποιεῖν καὶ πάσχειν.

μεγάλην ἔχειν δύναμιν, ὅταν χρήματα καὶ στρατιῶται πολλοὶ συνηθροισμένοι ὦσι. τῶν δὲ μὴ ὄντων ἐν ἐνίοις ὅσα δυνατά ἐστι γενέσθαι ἢ ποιηθῆναι· ἐν δὲ τῷ παθεῖν ἢ ποιῆσαι, ὅσα δυνατά ἐστιν ἀναιρεῖν ἢ ἀναιρεθῆναι.

20. ἡ φιλανθρωπία.

§ 98 τῆς φιλανθρωπίας ἐστὶν εἴδη τρία· ἓν μὲν διὰ τῆς προσηγορίας γινόμενον, οἷον ἐν ᾧ τινες τὸν ἐντυχόντα πάντα προσαγορεύουσι καὶ τὴν δεξιὰν ἐμβάλλοντες χαιρετίζουσιν· ἄλλο εἶδος, ὅταν τις βοηθητικὸς ᾖ παντὶ τῷ ἀτυχοῦντι· ἕτερον εἶδός ἐστι τῆς φιλανθρωπίας, ἐν ᾧ τινες φιλοδειπνισταί εἰσι. τῆς ἄρα φιλανθρωπίας τὸ μέν ἐστι διὰ τοῦ προσαγορεύειν, τὸ δὲ διὰ τοῦ εὐεργετεῖν, τὸ δὲ διὰ τοῦ ἑστιᾶν καὶ φιλοσυνουσιάζειν.

4 τῷ om. V fortasse recte 6 ἡ δὲ τὸ ποιεῖν B m. 1, corr. m. 2 12 εὐπροσηγορίας coni. H. Stephanus 13 ἐν ᾧ Wendl.: ἐν οἷς libri 15 ἐμβάλοντες Q: ἰμβάλοντες (sic) B 18 ἐστι om. F

1 post δύναμιν inserend. puto βασιλεύς coll. Diog. L. 3 συνειθισμένοι M: corr. Rose | βασιλεῖ post ὦσι mavult Sudh.

20. cf. notam ad 17 [44].

21. *ἡ εὐδαιμονία.*

ἡ εὐδαιμονία διαιρεῖται εἰς πέντε μέρη· ἡ μὲν γὰρ αὐτῆς ἐστιν εὐβουλία, ἕτερον δὲ εὐαισθησία καὶ ὑγεία τοῦ σώματος, τρίτον εὐτυχία ἐν ταῖς πράξεσι, τέταρτον εὐδοξία παρὰ τοῖς ἀνθρώποις, πέμπτον εὐπορία χρημάτων καὶ τῶν εἰς τὸν βίον χρησίμων. |
99 ἡ μὲν οὖν εὐβουλία γίνεται ἐκ παιδείας καὶ ἐκ τοῦ πολλῶν ἔμπειρον γενέσθαι. ἡ δὲ εὐαισθησία ἐκ τῶν τοῦ σώματος μερῶν· οἷον ἐάν τις ὀφθαλμοῖς ὁρᾷ καὶ τοῖς ὠσὶν ἀκούῃ καὶ τῇ ῥινὶ καὶ τῷ στόματι αἰσθάνηται ὧν δεῖ αἰσθάνεσθαι· τὸ δὲ τοιοῦτον εὐαισθησία. ἡ δὲ εὐτυχία, ὅταν

---

2 ἡ δὲ F 4 ἕτερον δὲ FB: ἡ δὲ PV 5 ὑγεία PFV: ὑγία H: ὑγεία B² ex -ία 11 οὖν F Wendl. om. libri cett. 15 μερῶν: μελῶν Q: $\overset{\lambda}{\varrho}$ (sic) V | ἐὰν τοῖς B 18 σώματι FH 19 δὲ om. F 20 τις post ὅταν addam

---

21. vide p. XXX sq.
Aristoteles: Eth. Nic. p. 1153 b 16: .. ἡ εὐδαιμονία .. διὸ προσδεῖται ὁ εὐδαίμων τῶν ἐν σώματι ἀγαθῶν καὶ τῶν ἐκτὸς καὶ τῆς τύχης κτλ. — ad dictionem cf. Pol. 1291 a 33: ἕβδομον δὲ (i. e. μέρος πόλεως) τὸ ταῖς οὐσίαις λειτουργοῦν, ὃ καλοῦμεν εὐπόρους.

ἐφ' ἃ σκοπεῖ πράξῃ κατορθῶν ἃ δεῖ πράττειν τὸν σπουδαῖον· εὐδοξία δέ ἐστιν ὅταν τις εὖ ἀκούῃ. εὐπορία δέ ἐστιν, ὅταν τις πρὸς τὰς ἐν τῷ βίῳ χρήσεις οὕτως ἔχῃ, ὥστε καὶ φίλους εὖ ποιῆσαι καὶ φιλοτίμως καὶ εὐπόρως ἀπολειτουργῆσαι. ᾧ δὲ ὑπάρχει πάντα ταῦτα, οὗτός ἐστιν εὐδαίμων τελέως. τῆς ἄρα εὐδαιμονίας ἐστὶ τὸ μὲν εὐβουλία, τὸ δὲ εὐαισθησία καὶ ὑγεία τοῦ σώματος, τὸ δὲ εὐτυχία, τὸ δὲ εὐδοξία, τὸ δὲ εὐπορία.

22. αἱ τέχναι — αἱ ἐπιστῆμαι. [53]

§ 100 αἱ τέχναι εἰς τρία διαιροῦνται· ἡ μὲν πρώτη, ἡ δὲ δευτέρα, ἡ δὲ τρίτη. πρώτη μὲν οὖν ἡ μεταλλευτικὴ καὶ ὑλοτομική· παρασκευαστικαὶ γάρ εἰσιν. ἡ δὲ χαλκευτικὴ

διαιροῦνται αἱ ἐπιστῆμαι [τῶν πρώτων καὶ τῶν δευτέρων] εἰς τρία· εἰσὶ γὰρ αὐτῶν αἱ μὲν πρῶται, αἱ δὲ δεύτεραι, αἱ δὲ τρίται. πρῶτον μὲν οὖν εἰσιν αἱ παρα-

---

1 σκοπεῖ: ει ex η fecit B[2] | κατορθῶν Wendl.: κατ' ὀρθὸν codd. 6 χρήσεις: πράξει F[1] -η F[2] 7 καὶ om. V 10 πάντα ταῦτα B: ταῦτα πάντα FPV 11 τελείω F 12 ἐστι om. F 14 ὑγεία PF: B ut supra 21 οὖν om. F | μεταλλευτηκὴ B: μεταλευτικὴ F 23 γὰρ om. V

19/20 τῶν — δευτέρων seclusi

καὶ ἡ τεκτονικὴ μετασχηματιστικαί εἰσιν· ἐκ μὲν γὰρ τοῦ σιδήρου ἡ χαλκευτικὴ ὅπλα ποιεῖ, ἡ δὲ τεκτονικὴ ἐκ τῶν ξύλων αὐλοὺς καὶ λύρας. ἡ δὲ χρηστική, οἷον ἱππικὴ τοῖς χαλινοῖς χρῆται· ἡ πολεμικὴ τοῖς ὅπλοις· ἡ μουσικὴ τοῖς αὐλοῖς καὶ τῇ λύρᾳ. τῆς τέχνης ἄρα τρία εἴδη ἐστί· τὸ μέν τι πρῶτον, τὸ δέ τι δεύτερον, τὸ δέ τι τρίτον.

σκευαστικαί τε καὶ μεταλλευτικαὶ καὶ ὑλοτομικαὶ καὶ λιθοτομικαί, δεύτεραι δὲ αἵ τε ποιητικαὶ καὶ μετασχηματιστικαί, οἷον ἡ μὲν χαλκευτικὴ τὸν σίδηρον παραλαβοῦσα μετεσχημάτισε καὶ ἐποίησε χαλινοὺς καὶ ὅπλα καὶ τὰ τοιαῦτα, ἡ δὲ τεκτονικὴ τὴν ὕλην παραλαβοῦσα μετεσχημάτισε καὶ ἐποίησεν αὐλοὺς καὶ πλοῖα καὶ οἴκους καὶ τὰ τοιαῦτα, ἡ δὲ λιθουργικὴ τοὺς λίθους παραλαβοῦσα μετεσχημάτισε καὶ ἐποίησε τείχη

1 μετασχηματιστικαί B: μετασχηματικαί F: μετασκευαστικαί PV 3 χαλκευτηκὴ B 7 χαληνοῖς F 10 εἴδη τρία F 11 τι: τοι BFV | πρῶτον: πρότερον P 12 τι B^1: $τ^{ο}ι$ B^2 (bis)

1 τε καί: olim οἷον ἡ μ. καὶ ἡ ὑλ. καὶ ἡ λ. exstitisse puto 6 σίδηρον παραλαβοῦσα: σ. τοῦτον γὰρ λαβοῦσα M 9—13 ἡ δὲ — τοιαῦτα quae verba versum integrum in cod. efficiunt, omisit V. Rose

22 [53] vide p. XIX. XXVI².

Plato: Euthyd. p. 289 C: ἐνταῦθα γὰρ δὴ χωρὶς μὲν ἡ ποιοῦσα τέχνη, χωρὶς δὲ ἡ χρωμένη, διῄρηται δὲ τοῦ αὐτοῦ πέρι· ἡ γὰρ λυροποιικὴ καὶ ἡ κιθαριστικὴ πολὺ διαφέρετον ἀλλήλοιν. — cf. Protag. 321 D. Gorg. 517 E. Symp. 187 D. Soph. 219 C.

Aristoteles: Oecon. I p. 1343 a 4: ἔνιαι μὲν οὖν τῶν τεχνῶν διῄρηνται, καὶ οὐ τῆς αὐτῆς ἐστι ποιῆσαι καὶ χρήσασθαι τῷ ποιηθέντι, ὥσπερ λύρᾳ καὶ αὐλοῖς (cf. Polit. 1256 a 10. Eth. Nic. p. 1098 b 32: κτήσει — χρήσει). — Eth. Nic. p. 1094 a 9: ὅσαι δ' εἰσὶ τῶν τοιούτων ὑπὸ μίαν τινὰ δύναμιν, καθάπερ ὑπὸ τὴν ἱππικὴν ἡ χαλινοποιικὴ καὶ ὅσαι ἄλλαι (scil. τέχναι) τῶν ἱππικῶν ὀργάνων εἰσίν κτλ. — Polit. I p. 1258 b 27: τρίτον δὲ εἶδος χρηματιστικῆς .... οἷον ὑλοτομία τε καὶ πᾶσα μεταλλευτική.

cf. Iambl. Protr. p. 26, 24 sqq. Pist. (vide p. XXXIX).

καὶ οἰκίας καὶ τὰ τοιαῦτα. πάλιν αἱ τρίται· ἡ μὲν γὰρ ἱππικὴ παραλαβοῦσα τὸν χαλινὸν ἐχρήσατο καλῶς καὶ ἡ πολεμικὴ τὰ ὅπλα καὶ ἐπὶ τῶν τοιούτων, καὶ πάλιν ἡ αὐλητικὴ παραλαβοῦσα τοὺς αὐλοὺς ἐχρήσατο καλῶς καὶ ἡ κυβερνητικὴ τοὺς οἴακας παραλαβοῦσα καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων.

23. *τὸ ἀγαθόν.* [36]

§ 101 τὸ ἀγαθὸν εἰς τέτταρα γένη διαιρεῖται· ὧν ἓν μὲν λέγομεν εἶναι τὸν τὴν ἀρετὴν ἔχοντα ἰδίᾳ ἀγαθόν· ἄλλο δὲ αὐτὴν τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην λέγομεν ἀγαθὸν εἶναι· τρίτον δέ, οἷον σιτία καὶ γυμνάσια τὰ πρόσφορα καὶ φάρμακα· τέταρτον δέ φαμεν εἶναι ἀγαθόν, οἷον

διαιρεῖται τὸ ἀγαθὸν εἰς τέσσαρα· ἔστι γὰρ αὐτοῦ ἓν μὲν ἀρετὴ καὶ δικαιοσύνη, ἓν δὲ τὸ ἔχον ἀρετήν, ἓν δὲ τὸ συμφέρον, ἓν δὲ τὸ τερπνὸν καὶ τὸ ἥδεσθαι ποιοῦν· οἷον ἀρετὴ μὲν καὶ δικαιοσύνη, ὅτι τούτων ἑκάτερον ἀγαθὸν λέγεται εἶναι, ἓν δὲ τὸ ἔχον ἀρετήν, οἷον ἵππος καὶ ἄν-

---

13 *τέττερα* B (et p. 31 v. 3) 15 in fonte fort. *τὸ ...... ἔχον τὸ ἰδίᾳ* Wendl. 17 *αὐτὴν*: *αὐτό* ex *αὐτὸν* in ras. B 20 *τὰ πρόσφορα* fort. ante *οἷον* transp. sunt 22 *εἶναι* om. F

5 *καί τι* con. Wendl. 9 *ἡ κυβερνευτική* M

---

23 [36] vide p. XXV[1].
Haec divisio alludit ad div. 11 [62] *τὸ κάλλος* et 28 *τὰ ἀγαθά.* (cf. quoque div. 21 et p. XXXI.) vide Arleth, Die metaphys. Grundl. der aristot. Ethik. Pragae 1903 p. 64. cf. Arist. Eth. Eud. 1248 b 8 sqq.

αὐλητικὴν καὶ ὑποκριτικὴν καὶ τὰ τοιαῦτα. ἀγαθοῦ ἄρα τέτταρα εἴδη ἐστί· τὸ μὲν τὸ τὴν ἀρετὴν ἔχειν, ἕτερον δὲ αὐτὴ ἡ ἀρετή, τρίτον δὲ σιτία καὶ γυμνάσια τὰ ὠφέλιμα· τέταρτον δὲ αὐλητικὴν καὶ ὑποκριτικὴν καὶ ποιητικὴν ἀγαθὸν λέγομεν εἶναι.

θρωπος καὶ τὰ τοιαῦτα· καὶ γὰρ τούτων ἕκαστον λέγεται ἀγαθὸν εἶναι, ἐὰν ἔχῃ τὴν ἀρετήν. τὸ δὲ συμφέρον, οἷον γυμνασία καὶ φαρμακεία καὶ τἆλλα ὅσα πρὸς ὑγείαν καὶ εὐεξίαν· καὶ γὰρ τούτων ἕκαστον λέγεται ἀγαθὸν εἶναι ᾧ ἂν συμφέρῃ. τὸ δὲ τερπνὸν καὶ τὸ ἥδεσθαι ποιοῦν, οἷον ὑποκριτὴς καὶ αὐλητής, οὐ τῷ ὠφελεῖν ἀγαθὸν εἶναι λέγεται ἀλλὰ τῷ τέρπειν [τοῦ ἀγαθοῦ εἶναι.]

24. *τὰ ὄντα.* [55]

102 τῶν ὄντων τὰ μέν ἐστι κακά, τὰ δὲ ἀγαθά, τὰ δὲ οὐδέτερα. τούτων κακὰ μὲν ταῦτα λέγομεν, τὰ δυνάμενα

διαιρεῖται ἕκαστον τῶν ὄντων εἰς τρία. ἔστι γὰρ ἢ ἀγαθὸν ἢ κακὸν ἢ οὐδέτερον. τὸ μὲν οὖν ἀγαθόν ἐστιν,

---

3 εἴδη: ἤδει V 4 in fonte ἔχον susp. Wendl. 5 αὔτη V 8 καὶ ποιητικὴν om. F 17 τὰ δὲ ἀγαθά: τὰ δὲ καλά V

13—14 glossema? Wendl.

---

24 [55] vide p. XIX.
Plato: Gorg. p. 467 E: ἆρ' οὖν ἔστι τι τῶν ὄντων, ὃ οὐχὶ ἤτοι ἀγαθόν γ' ἐστὶν ἢ κακὸν ἢ μεταξὺ τούτων, οὔτε ἀγαθὸν οὔτε κακόν; — πολλὴ ἀνάγκη. — idem: Prot. p. 351 D. Resp. X p. 609 B. Symp. p. 202 B. Euthyd. p. 281 E. Lys. 216 D. — cf. Phaed. 90 A: χρηστοὺς .... πονηροὺς .... μεταξύ.
De Aristotele vide Hambruchium l. l. p. 12⁵.
cf. Stoicos apud Diog. Laert. VII 101. Iambl. Protr. p. 25,19 Pist. (vide p. XXXIX). Sext. Emp. adv. math. XI p. 546,8 sqq. B.

βλάπτειν ἀεί, οἷον ἀκρασίαν καὶ ἀφροσύνην καὶ ἀδικίαν καὶ τὰ τοιαῦτα· τὰ δὲ τούτοις ἐναντία ἀγαθά ἐστιν· τὰ δὲ ἐνίοτε μὲν ὠφελεῖν, ἐνίοτε δὲ βλάπτειν, οἷον τὸ περιπατεῖν καὶ τὸ καθῆσθαι καὶ τὸ ἐσθίειν, ⟨ἢ⟩ ὅλως μήτε ὠφελῆσαι μήτε βλάψαι δυνάμενα, ταῦτα οὖν οὔτε ἀγαθὰ οὔτε κακά ἐστιν. τῶν ἄρα ὄντων τὰ μὲν ἀγαθά, τὰ δὲ κακά, τὰ δὲ οὐδέτερα τούτων.

ὅταν ὠφελήσῃ τινὰ καὶ οὐ βλάψῃ, τὸ δὲ κακόν, ὅταν βλάπτῃ ἀεί, τὸ δὲ οὐδέτερον, ὅπερ ποτὲ μὲν βλάψει ποτὲ δὲ ὠφελήσει, οἷον οἱ περίπατοι καὶ οἱ ὕπνοι καὶ οἱ ἐλλέβοροι καὶ τὰ τοιαῦτα, ἢ οὔτε βλάψει ὅλως οὔτε ὠφελήσει.

25. ἡ εὐνομία. [14]

§ 103 εὐνομία διαιρεῖται εἰς τρία· ἓν μέν, ἐὰν ὦσιν οἱ

διαιρεῖται ἡ εὐνομία εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν

1 ἀκρισίαν PFV: ἀκρασίαν: α sec. ex em. B: ἀκρισίαν (α ss.) H: ἀκρισίαν, α ss. Q^3 7 καθῆσθαι: η ex ει B^2 8 ἢ add. Cob. | μήτε βλάψαι μήτε ὠφελῆσαι F 10 οὖν: γοῦν B 11 τῶν ἄρα ὄντων om. B(?)P: ss. P^5

7 ἐλέβοροι M: corr. Rose

25 [14] vide p. XII. XXIII.

Aristoteles: Pol. IV p. 1294 a 3: οὐκ ἔστι δὲ εὐνομία τὸ εὖ κεῖσθαι τοὺς νόμους, μὴ πείθεσθαι δέ. διὸ μίαν μὲν εὐνομίαν ὑποληπτέον εἶναι τὸ πείθεσθαι τοῖς κειμένοις νόμοις, ἑτέραν δὲ τὸ καλῶς κεῖσθαι τοὺς νόμους οἷς ἐμμένουσιν· ἔστι γὰρ πείθεσθαι καὶ κακῶς κειμένοις. — (cf. Pol. III 16 p. 1287 b 5: ἔτι κυριώτεροι καὶ περὶ κυριωτέρων τῶν κατὰ γράμματα νόμων οἱ κατὰ τὰ ἔθη εἰσίν, ... et div. 7 [20].)

cf. Menander περὶ ἐπιδεικτικῶν IX p. 202 Walz: μέρος δ' αὐτῆς (scil. τῆς δικαιοπραγίας, vide eiusdem rhetoris locum ad div. 4 [4] exscriptum) καὶ τὸ τοῖς ἔθεσιν ἴσοις καὶ φιλανθρώποις καὶ τὸ νόμοις ἀκριβέσι καὶ δικαίοις χρῆσθαι.

vide divisionem quae sequitur.

νόμοι σπουδαῖοι, εὐνομίαν φαμὲν εἶναι· ἕτερον δέ, ἐὰν τοῖς κειμένοις νόμοις ἐμμένωσιν οἱ πολῖται, καὶ τοῦτό φαμεν εὐνομίαν εἶναι· τρίτον δέ, ἐὰν μὴ ὄντων [τῶν] νόμων κατὰ ἔθη καὶ ἐπιτηδεύματα χρηστῶς πολιτεύωνται, καὶ τοῦτο εὐνομίαν προσαγορεύομεν. τῆς εὐνομίας ἄρα ἓν μέν ἐστι νόμους σπουδαίους εἶναι· ἄλλο δέ, ἐὰν τοῖς οὖσι νόμοις ἐμμένωσιν· τρίτον δέ, ἐὰν ἔθεσι καὶ ἐπιτηδεύμασι χρηστοῖς πολιτεύωνται.

νόμοις σπουδαίοις χρῆσθαι, ἓν δὲ τοῖς ὑπάρχουσιν, ἂν ὦσι μὴ φαῦλοι, [μὴ] πείθεσθαι, ἓν δὲ τοῖς ἔθεσι τοῖς σπουδαίοις πολιτεύεσθαι, ἐὰν μὴ ὦσι νόμοι γεγραμμένοι.

26. *ἡ ἀνομία.* [15]

διαιρεῖται ἡ ἀνομία εἰς τρία· ὧν ἓν μέν ἐστιν, ἐὰν ὦσιν οἱ νόμοι μοχθηροὶ καὶ πρὸς ξένους καὶ πρὸς πολί-
04 *τας· | ἕτερον δέ, ἐὰν τοῖς*

διαιρεῖται ἡ ἀνομία εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν νόμοις φαύλοις καὶ μετρίοις κεχρῆσθαι, ἓν δὲ τὸ μὴ πείθεσθαι τοῖς κειμένοις, ἂν ὦσι

---

6 *μὴ* BF: om. PV | *κατὰ*: *καὶ τὰ* QV 8 *πολιτεύονται* BF *-ωνται* ceteri 12 *ἄλλο*: *ν* add. B^2 | *ἐὰν*: *ἂν* F 15 *πολιτεύονται* ut supra. ante divisionem medio in textu libr. BP legitur nota marginalis: *εὐνομίας διαίρεσις* 16 ante div. legitur: *ἀνομίας διαίρεσις* in BP 18 *ἓν* om. V 21 *ἐὰν*: *ἂν* V H

3 *μὴ* secl. Rose 19 ⟨*μὴ*⟩ *μετρίοις* coni. Wendl.: fort. *μοχθηροῖς* (coll. D. L.)

---

26 [**15**] Anax. Rhet. p. 89, 22 sqq. Sp.-H. vide p XII[3].

ὑπάρχουσι μὴ πείθωνται· ἄλλο δέ, ἐὰν ὅλως μηδεὶς ᾖ νόμος. τῆς ἄρα ἀνομίας ἓν μέν ἐστι τὸ μοχθηροὺς εἶναι τοὺς νόμους· ἄλλο δέ, ἐὰν τοῖς οὖσι μὴ πείθωνται· τρίτον δέ, ἐὰν μηδεὶς ᾖ νόμος.

σπουδαῖοι, ἓν δὲ τὸ φαύλοις ἔθεσι πολιτεύεσθαι, ἐὰν μὴ ὦσι νόμοι τὸ σύνολον.

27. τὰ ἐναντία. [23]

τὰ ἐναντία διαιρεῖται εἰς τρία. οἷον ἀγαθὰ κακοῖς ἐναντία φαμὲν εἶναι, ὡς τὴν δικαιοσύνην τῇ ἀδικίᾳ καὶ τὴν φρόνησιν τῇ ἀφροσύνῃ καὶ τὰ τοιαῦτα. κακὰ δὲ κακοῖς ἐναντία ἐστίν, οἷον ἡ ἀσωτία τῇ ἀνελευθερίᾳ καὶ τὸ ἀδίκως στρεβλοῦσθαι τῷ δικαίως στρεβλοῦσθαι· καὶ τὰ τοιαῦτα

διαιρεῖται τὰ ἐναντία εἰς τρία. ἔστι γὰρ αὐτῶν τὸ μὲν ὡς ἀγαθὸν κακῷ, οἷον ὑγεία νόσῳ καὶ κάλλος αἴσχει καὶ τὰ τοιαῦτα, τὸ δὲ ὡς οὐδέτερον οὐδετέρῳ, οἷον λευκότης μελανότητι καὶ κουφότης βαρύτητι καὶ τὰ τοιαῦτα, τὸ δὲ ὡς φευκτὸν φευκτῷ, οἷον ἀσωτία ἀνελευθερίᾳ καὶ θερ-

---

2 ἄλλο δὲ: τρίτον FH | ὅλως om. FH 5 ἐὰν: ἂν BF 7 δὲ B om. cett. ll. ante div.: τῶν ἐναντίων διαίρεσις BP 10 κακίας V 15 ἀσωτεία B 17 τῷ: τὸ FV

---

27 [23] vide p. XXIII. Hambruch l. l. p. 12 sqq.
Aristot. frgm. 124 Rose (Simpl. in categ.): ταῦτα τοῖς περὶ τῶν ἐναντίων εἰρημένοις προστίθησι .... ὅτι τῷ μὲν ἀγαθῷ κακὸν πάντως ἐναντίον, τῷ δὲ κακῷ ποτὲ μὲν ἀγαθὸν ποτὲ δὲ κακόν .... ἐν δὲ τῷ περὶ ἀντικειμένων βιβλίῳ προσέθηκε τοῖς τρόποις τούτοις τῶν ἐναντιώσεων καὶ τὸν τῶν μήτε ἀγαθῶν μήτε κακῶν πρὸς τὰ μήτε ἀγαθὰ μήτε κακά, οὕτως λέγων τὸ λευκὸν τῷ μέλανι καὶ τὸ γλυκὺ τῷ πικρῷ καὶ τὸ ὀξὺ τῷ βαρεῖ καὶ τῇ κινήσει τὴν στάσιν ἐναντιοῦσθαι.
cf. div. [68]!

κακὰ κακοῖς ἐναντία ἐστίν. τὸ δὲ βαρὺ τῷ κούφῳ καὶ τὸ ταχὺ τῷ βραδεῖ καὶ τὸ μέλαν τῷ λευκῷ ὡς οὐδέτερα
105 οὐδετέροις ἐναντία ἐστί. | τῶν ἐναντίων ἄρα τὰ μὲν ὡς ἀγαθὰ κακοῖς ἐναντία ἐστί· τὰ δὲ ὡς κακὰ κακοῖς· τὰ δὲ ὡς οὐδετέροις οὐδέτερα.

μότης ψυχρότητι καὶ ἰσχνότης παχύτητι καὶ τὰ τοιαῦτα.

28. *τὰ ἀγαθά.*

τῶν ἀγαθῶν γένη ἐστὶ τρία. τὰ μὲν γάρ ἐστιν ἑκτά, τὰ δὲ μεθεκτά, τὰ δὲ ὑπαρκτά. τὰ μὲν οὖν ἑκτά ἐστιν, ὅσα ἐνδέχεται ἔχειν, οἷον ἡ δικαιοσύνη καὶ ἡ ὑγίεια. μεθεκτὰ δέ, ὅσα ἔχειν μὲν μὴ ἐνδέχεται, μετασχεῖν δὲ αὐτῶν ἐνδέχεται· οἷον αὐτὸ τὸ ἀγαθὸν ἔχειν μὲν οὐκ ἐνδέχεται, μετασχεῖν δὲ αὐτοῦ

---

1 τὸ δὲ — 7 ἐστὶ om. V 3 τῷ ταχεῖ τὸ βραδύ B 5 ἐναντία om. F add. m. 2 9 οὐδετέροις: ἑτέροις PB: οὐδ sqq. P[5] B[2]: οὐδετίοις V 11 τῶν in ras. B 15 ἔχειν FB: εἶναι PV 17 ὅσα om. V | μὲν om. F 21 μετασχ. — ἐνδ. B[2] in marg.

---

28. Aristoteles: Eth. Nic. 1099 b 27: *τῶν δὲ λοιπῶν ἀγαθῶν τὰ μὲν ὑπάρχειν ἀναγκαῖον, τὰ δὲ συνεργὰ καὶ χρήσιμα πέφυκεν ὀργανικῶς.*
cf. div. 23 [36], 11 [62] et divisiones p. XXIV sq.

ἐνδέχεται. ὑπαρκτὰ δέ, ὅσα μήτε μετασχεῖν μήτε ἔχειν ἐνδέχεται, ὑπάρχειν δὲ δεῖ· οἷον τὸ σπουδαῖον εἶναι ⟨καὶ⟩ τὸ δίκαιον εἶναι ἀγαθόν ἐστι. καὶ ταῦτα οὔτε ἔχειν οὔτε μετασχεῖν ἔστιν, ἀλλ' ὑπάρχειν δεῖ σπουδαῖον εἶναι καὶ § 106 δίκαιον εἶναι. | τῶν ἀγαθῶν ἄρα τὰ μέν ἐστιν ἑκτά, τὰ δὲ μεθεκτά, τὰ δὲ ὑπαρκτά.

29. ἡ συμβουλία. [18]

ἡ συμβουλία διαιρεῖται εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐκ τῶν παροιχομένων χρόνων λαμβανόμενον, ἓν δὲ ἐκ τῶν μελλόντων, ἓν δὲ ἐκ τῶν ἐνεστώτων. τὰ μὲν οὖν ἐκ τῶν παροιχομένων παρα-

διαιρεῖται ἡ συμβουλία εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐκ τῶν παρῳχημένων, ἓν δὲ ἐκ τῶν παρόντων, ἓν δὲ ἐκ τῶν μελλόντων. τὸ μὲν οὖν ἐκ τῶν παρῳχημένων ἐστίν, οἷον τὰ παρα-

---

2 ἔχειν: σχεῖν BF 4 καὶ addidi 5 τὸ om. BV 6 οὔτε μετασχεῖν οὔτε σχεῖν F | ἔχειν: σχεῖν libri 7 ἔστιν om. B 8 τὸ ante σπουδαῖον Cob. | σπουδαῖον εἶναι om. F 11 ὑπαρκτικά F 13 συμβουλεία B 15 et 19 παροιχομένων B[1]: -ωχη B[2]

---

29 [18] Valde adamat Aristoteles temporis tripartitionem, qua saepe utitur ad genus quoddam in species dividendum, velut in Rhet. I 3 p. 1358 b 2 sqq. et I 11 p. 1370 a 32 (cf. quae exscripsi ad div. [19] et p. XIII[2]. XXXI).

cf. P. Wendland, Anax. p. 43[1].

δείγματα, οἷον τί ἔπαθον Λακεδαιμόνιοι πιστεύσαντες. τὰ δὲ ἐκ τῶν παρόντων, οἷον ἀποφαίνειν τείχη ἀσθενῆ, δειλοὺς ἀνθρώπους, σῖτον ὀλίγον. τὰ δὲ ἐκ τῶν μελλόντων, οἷον ταῖς ὑπονοίαις μὴ ἀδικεῖν τὰς πρεσβείας, ὅπως μὴ ἄδοξος ἡ Ἑλλὰς γένηται. τῆς ἄρα συμβουλίας τὰ μέν ἐστιν ἐκ τῶν παροιχομένων, τὰ δὲ ἐκ τῶν παρόντων, τὰ δὲ ἐκ τῶν μελλόντων.

δείγματα ⟨ἐμφανίζουσιν⟩, ὅτι ‘καὶ πρότερον ἡμῶν ἀπειθήσαντες ἀνηκέστοις κακοῖς περιέπεσαν’. τὸ δὲ ἐκ τῶν παρόντων, οἷον τὰ παρόντα πράγματα ἐμφανίζουσιν, ὅτι ‘ἐὰν τὰ τείχη ἡμῶν ἀκατασκεύαστα ὦσι καὶ ἡμεῖς ἄοπλοι ὦμεν, οἱ δὲ πολέμιοι ἅπασι τούτοις κατεσκευασμένοι, σκοπῶμεν δὴ ὅπως πολεμεῖν δυνησόμεθα’. τὸ δὲ ἐκ τῶν μελλόντων, οἷον τὰ ἀποβησόμενα ἐμφανίζοντας, ὅτι ‘ὁρᾶτε μή, ἐὰν ἐπιπλευσάντων πολεμίων ἥ τε χώρα ἀπόληται ὑμῶν καὶ τὰ σώματα τὰ πολλὰ μάτην διαφθαρῇ, καὶ ὑμεῖς μὴ οὐδὲν ἧττον ἀναγκασθῆτε ταῦτα πράττειν, ἃ νῦν ἔστιν ὑμῖν καὶ ἀκινδύνως πράττειν’.

30. ἡ φωνή. [24]

§ 107 ἡ φωνὴ διαιρεῖται εἰς δύο· ἓν μὲν αὐτῆς ἐστιν ἔμψυχον, ἓν δὲ ἄψυχον. ἔμ-

διαιρεῖται ἡ φωνὴ εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἡ μὲν ἔμψυχος, ἡ δὲ ἄψυχος,

4 δηλοὺς V 11 παροιχομένων B ut supra 25 ἔμψον P: corr. P^5

1 suppl. Wendl. 5 πράγματα: γράμματα M 10 lacunam post κατεσκ. statuit Wendl. 14 ἐμφανίζοντας: ἐμφανίζειν Rose 19 ἀναγκασθεῖτε M^1: corr. M^2

30 [**24**] vide p. XXXIV^2.
cf. Arist. de an. II 8 p. 420 b 5 sqq. (Steinthal, Gesch. der Sprachw. I^2 p. 252. 291) et Xenocrates frgmt. 10 Heinze.

ψυχον μὲν ἡ τῶν ζῴων φωνή, ἄψυχον δὲ φθόγγοι καὶ ἦχοι. τῆς τοῦ ἐμψύχου φωνῆς ἡ μέν ἐστιν ἐγγράμματος, ἡ δὲ ἀγράμματος. ἐγγράμματος μὲν ἡ τῶν ἀνθρώπων, ἀγράμματος δὲ ἡ τῶν ζῴων. τῆς ἄρα φωνῆς ἡ μὲν ἔμψυχος, ἡ δὲ ἄψυχος.

καὶ ἡ μὲν καὶ ἐγγράμματος, ἡ δὲ ἀγράμματος. ἔστι δὲ ἡ μὲν ἔμψυχος, ἡ τῶν ζῴων, ἡ δὲ ἄψυχος, οἷον ἦχοι καὶ ψόφοι καὶ ἡ τῆς λύρας καὶ τῶν αὐλῶν φωνή· καὶ ἐγγράμματος μὲν ἡ τῶν ἀνθρώπων φωνὴ καὶ ζῴων τινῶν, οἷον ἀηδόνων χελιδόνων στρουθίων καὶ τῶν τοιούτων, ἀγράμματος δὲ ἡ ἀδιάθετος ὡς οἱ ποππυσμοὶ καὶ ἦχοι καὶ ψόφοι καὶ τὰ τοιαῦτα.

31. τὰ ὄντα. [26]

τῶν ὄντων τὰ μέν ἐστι μεριστά, τὰ δὲ ἀμέριστα. τούτων δὲ τῶν μεριστῶν τὰ μὲν ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ. ἀμερῆ μὲν οὖν ἐστιν, ὅσα μὴ ἔχει διαίρεσιν μηδὲ

ἔτι τῶν ὄντων τὰ μέν ⟨ἔστι μεριστά, τὰ δὲ ἀμερῆ, καὶ τῶν μεριστῶν τὰ μέν⟩ ἐστιν ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ. ἔστι δὲ τὰ μὲν μεριστὰ ἅπερ ἂν ἔχῃ διαίρε-

---

2 φθόγγοι BFV: φθογγὴ P 3 τοῦ om. V 4 ἐνγράμματος V 7 fortasse τῶν ⟨ἄλλων⟩ ζῴων 8 ἡ μὲν ἄψυχος ἡ δὲ ἔμψυχος F 15 ἔστι τὰ μὲν BF

6 αὐλῶν: ἄλλων M 16—17 suppl. Rose

---

31 [26] vide p. XXXIV².
Aristoteles: cf. Alex. Aphrod. in Metaph. (p. 1014 a 26) p. 355, 2 ed. Hayduck (vol. I. ed. Ac. Berol.): *τὸ γὰρ ἀδιαίρετον κατ᾽ εἶδος οὐχ οἷόν τε εἰς ἕτερον εἶδος διαιρεθῆναι. ἂν δὲ εἰς τὸ αὐτὸ εἶδος, λέγοι ἂν εἰς στοιχεῖα ..... δεδήλωται γὰρ τοῦτο διὰ τοῦ εἰρῆσθαι τὸ στοιχεῖον ἀδιαίρετον εἶναι τῷ εἴδει· τὸ γὰρ οὕτως ἀδιαίρετον δῆλον ὅτι, ἂν διαιρῆται, εἰς ὁμοιειδῆ καὶ ὁμοιομερῆ διαιρεθήσεται.*

ἔκ τινος σύγκειται, οἷον ἥ τε μονὰς καὶ ἡ στιγμὴ καὶ ὁ φθόγγος. μεριστὰ δέ, ὅσα ἔκ τινος σύγκειται, οἷον αἵ τε συλλαβαὶ καὶ συμφωνίαι καὶ ζῷα καὶ ὕδωρ καὶ χρυ-
108 σός. | ὁμοιομερῆ ⟨μέν⟩, ὅσα ἐξ ὁμοίων σύγκειται καὶ μηδὲν διαφέρει τὸ ὅλον τοῦ μέρους εἰ μὴ τῷ πλήθει, οἷον τὸ ὕδωρ καὶ τὸ χρυσίον καὶ πᾶν τὸ χυτὸν καὶ τὸ τοιοῦτον. ἀνομοιομερῆ δέ, ὅσα ἐξ ἀνομοίων μερῶν σύγκειται, οἷον οἰκία καὶ τὰ τοιαῦτα. τῶν ὄντων ἄρα τὰ μέν ἐστι μεριστά, τὰ δὲ ἀμερῆ· τῶν δὲ μεριστῶν τὰ μὲν ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ.

σιν, οἷον οἰκία καὶ ἱμάτιον καὶ ἀργύριον καὶ κτῆμα καὶ τὰ τοιαῦτα, ἀμερῆ δὲ ἅπερ ἂν ἀμέριστα ᾖ, οἷον μονὰς καὶ στιγμὴ καὶ σημεῖον καὶ φθόγγος καὶ τὰ τοιαῦτα. καὶ τῶν μεριστῶν δὲ ἄρα τὰ μέν ἐστιν ὁμοιομερῆ ὧν καὶ τὰ μέρη ὅμοια, οἷον ὕδωρ πῦρ χαλκὸς καὶ τὰ τοιαῦτα, ⟨τὰ δὲ ἀνομοιομερῆ ὧν τὰ μέρη ἀνόμοια, οἷον οἰκία καὶ τὰ τοιαῦτα⟩.

32. τὰ ὄντα. [67]

τῶν ὄντων τὰ μέν ἐστι καθ' ἑαυτά, τὰ δὲ πρός τι λέγεται. τὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενά ἐστιν, ὅσα ἐν τῇ ἑρμηνείᾳ μηδενὸς προσδεῖται· ταῦτα δὲ ἂν εἴη οἷον

τῶν ὄντων τὰ μὲν αὐτὰ καθ' ἑαυτά ἐστι, τὰ δὲ πρός τι. αὐτὰ μὲν οὖν καθ' ἑαυτὰ ταῦτά ἐστιν, οἷον ἄνθρωπος οἰκία ἱμάτιον χρυσίον καὶ πάντα ὅσα ἁπλῶς, μὴ τῷ

---

12 πᾶν — τοιοῦτον F: πᾶν [fuit πάν] τὸ χυτ`` [ὸ χυτ`` in ras.] καὶ τὸ τοιοῦτο^{ν} B: τυχὸν, τυχ in lit. P^3: in marg. εἶχε τὸ χυτὸν P^4: χυτὸν Q marg. H: τοιοῦτο QH 13 ἀνομοίων corr. P^3: ἀνομοιομερῶν FP: ἀνομερῶν Q 24 ὅσα in ras. B

1 οἰκία: οἰκίαι M 5 σημεῖον: fort. olim. στοιχεῖον 10—13 suppl. Rose 21 τῶν: ὧν M 22 ἔστι Rose: εἰσί M (cf. p. 37, 8)

ἄνθρωπος ἵππος καὶ τὰ ἄλλα ζῷα. τούτων γὰρ οὐδὲν δι'
§ 109 ἑρμηνείας χωρεῖ. | τῶν δὲ πρός τι λεγομένων ὅσα προσδεῖταί τινος ἑρμηνείας, οἷον τὸ μεῖζόν τινος καὶ τὸ θᾶττόν τινος καὶ τὸ κάλλιον καὶ τὰ τοιαῦτα· τό τε γὰρ μεῖζον ἐλάττονός ἐστι μεῖζον καὶ τὸ θᾶττον θᾶττόν τινός ἐστι. τῶν

ἕτερόν τι εἶναι ἐξ ἀνάγκης ἐστί, τὰ δὲ πρός τι τοιαῦτα ἐστὶν οἷον τὸ διπλάσιον καὶ ἡ ἐπιστήμη· τό τε γάρ διπλάσιον πρὸς τὸ ἥμισυ λέγεται καὶ ἡ ἐπιστήμη πρὸς ἄλλο τι.

---

1 τὰ ἄλλα: τἆλλα B
2 διερμηνείας P: corr. P[3]
8 τό τε γὰρ μάλιστα μεῖζον F
10 θᾶττόν F: om. cett.

---

32 [67] vide p. XIX. XXVI.

Plato: Soph. p. 255 C: *ἀλλ' οἶμαί σε συγχωρεῖν τῶν ὄντων τὰ μὲν αὐτὰ καθ' αὑτά, τὰ δὲ πρὸς ἄλλα ἀεὶ λέγεσθαι.* — idem: Rep. IV 438 A sqq. Parm. 133 C (cf. Hambruch p. 11).

Heinze, Xenocrates p. 37 sqq., unde repeto Simplicii locum ex Hermodoro sumptum (Simplic. in Arist. Phys. p. 248, 2 Diels): *εἰπὼν γὰρ ὅτι 'τῶν ὄντων τὰ μὲν καθ' αὑτὰ εἶναι λέγει* (scil. *ὁ Πλάτων*) *ὡς ἄνθρωπον καὶ ἵππον, τὰ δὲ πρὸς ἕτερα, καὶ τούτων τὰ μὲν ὡς πρὸς ἐναντία, ὡς ἀγαθὸν κακῷ, τὰ δὲ ὡς πρός τι, καὶ τούτων τὰ μὲν ὡς ὡρισμένα, τὰ δὲ ὡς ἀόριστα', ἐπάγει·* (Sequuntur verba corrupta) *ὡσαύτως δὲ καὶ πλατύτερον καὶ στενότερον καὶ βαρύτερον καὶ κουφότερον κτλ.*

Polystratus Epicureus coll. XVI b sq. (p. 24 Wilke): *τὰ πρός τι κατηγορούμενα οὐ τὴν αὐτὴν χώραν ἔχει τοῖς κατὰ τὴν ἰδίαν φύσιν λεγομένοις καὶ μὴ πρός τι .... ἐπειδὴ τὸ μεῖζον καὶ βαρύτερον ἢ λευκότερον καὶ γλυκύτερον τινὸς* ⟨*μέν* Sudh.⟩ *ἐστι μεῖζον, τινὸς δὲ ἔλαττον καὶ βαρύτερον καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως ......*

Sext. Emp. adv. math. X p. 529, 11 sqq. Bek.: *τῶν γὰρ ὄντων, φασί* (scil.: *οἱ Πυθαγορικοί*), *τὰ μὲν κατὰ διαφορὰν νοεῖται, τὰ δὲ κατ' ἐναντίωσιν, τὰ δὲ πρός τι. κατὰ διαφορὰν μὲν οὖν εἶναι τὰ καθ' ἑαυτὰ .... οἷον ἄνθρωπος ἵππος φυτὸν γῆ ὕδωρ ἀνὴρ πῦρ· κατ' ἐναντίωσιν δὲ .... οἷον ἀγαθὸν καὶ κακόν, δίκαιον ἄδικον, συμφέρον ἀσύμφορον, ὅσιον ἀνόσιον, εὐσεβὲς ἀσεβές, κινούμενον ἠρεμοῦν ...... πρός τι δὲ ..... οἷον δεξιὸν ἀριστερόν, ἄνω κάτω, διπλάσιον ἥμισυ·*

ὄντων ἄρα τὰ μέν ἐστιν αὐτὰ καθ' αὐτά, τὰ δὲ πρός τι λέγεται.

ὧδε καὶ τὰ πρῶτα διῄρει κατὰ τὸν Ἀριστοτέλην.

---

1 ἐστιν om. B 2 λέγεται libr. post αὐτά 5 τὸν: τῶν B | Ἀριστοτέλη B

B.

Divisiones codicis Marciani.

[1] vide D. L. 12.
[2] vide D. L. 13.

[3] ἡ κακία.

cf. 13[2] ἡ ἀρετή διαιρεῖται ἡ κακία εἰς τέσσαρα. ἔστι γὰρ αὐτῆς ἓν μὲν ἀφροσύνη, ἓν δὲ ἀδικία, ἓν δὲ δειλία, ἓν δὲ ἀκολασία. ἔστι δὲ ἡ μὲν ἀφροσύνη ἐν τῷ λογιστικῷ, ἡ δὲ ἀδικία ἐν πᾶσι τούτοις τοῖς μέρεσι γίνεται, ἡ δὲ δειλία ἐν τῷ θυμικῷ, ἡ δὲ ἀκολασία ἐν τῷ ἐπιθυμητικῷ. τῆς κακίας ἄρα ἓν μέν ἐστιν ἀφροσύνη, ἓν δὲ ἀδικία, ἓν δὲ δειλία, ἓν δε ἀκολασία.

[4] vide D. L. 4.
[5] vide D. L. 1.

[6] τὰ κακά.

cf. 1[5] τὰ ἀγαθά διαιρεῖται τὰ κακὰ εἰς τρία. ἔστι γὰρ αὐτῶν τὰ μὲν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός. ἔστι δὲ τὰ μὲν ἐν

---

[3] vide p. XIX. XX[3].
Plato: Resp. IV p. 444 B: ...... τήν τε ἀδικίαν καὶ ἀκολασίαν καὶ δειλίαν καὶ ἀμαθίαν καὶ συλλήβδην πᾶσαν κακίαν.
[Aristoteles] de virt. et vit. p. 1249 b 29: κακία δ᾽ ἐστὶ τοῦ μὲν λογιστικοῦ ἡ ἀφροσύνη, τοῦ δὲ θυμοειδοῦς ἥ τε ὀργιλότης καὶ ἡ δειλία, τοῦ δὲ ἐπιθυμητικοῦ ἥ τε ἀκολασία καὶ ἡ ἀκράτεια, ὅλης δὲ τῆς ψυχῆς ἥ τε ἀδικία καὶ ἀνελευθεριότης καὶ μικροψυχία.

ψυχῇ, οἷον ἀφροσύνη ἀδικία δειλία ἀκολασία καὶ τὰ ἄλλα τὰ τοιαῦτα, τὰ δὲ ἐν σώματι, οἷον νόσος ἀσθένεια αἶσχος ἔχθρα καὶ τὰ ἄλλα τὰ τοιαῦτα, τὰ δὲ ἐκτός, οἷον πενία ἐχθροὶ ἀδοξία πόλεως καὶ τὰ ἄλλα τὰ τοιαῦτα. τῶν κακῶν ἄρα τὰ μέν ἐστιν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός.

[7] vide D. L. 3.
[8] vide D. L. 5.

[9] ἡ ἄγνοια.

5[8] (ἐπι-ήμη) διαιρεῖται ἡ ἄγνοια εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν περὶ τὸ θεωρητικόν, ἓν δὲ περὶ τὸ πρακτικόν, ἓν δὲ περὶ τὸ ποιητικόν. ἔστι δὲ ἡ περὶ τὸ θεωρητικὸν ἡ ἐν ταῖς θεωρίαις ἄγνοια, ἡ δὲ περὶ τὸ ποιητικὸν ἡ ἐν ταῖς ποιήσεσιν, ἡ δὲ περὶ τὸ πρακτικὸν ἡ ἐν ταῖς πράξεσιν. τῆς ἀγνοίας ἄρα ἓν μέν ἐστι περὶ τὸ θεωρητικόν, ἓν δὲ περὶ τὸ ποιητικόν, ἓν δὲ περὶ τὸ πρακτικόν.

[10] vide D. L. 10.

[11] ἡ δυσγένεια.

10[10] (εὐ- εια) διαιρεῖται ἡ δυσγένεια εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν ἀπὸ ἀδόξων καὶ φαύλων γεγονέναι γονέων, ἓν δὲ ἀπὸ ἀδίκων καὶ πονηρῶν, ἓν δὲ ἀπ᾽ αὐτῆς τῆς τοῦ ἔχοντος κακίας. ἔστι δὲ τὸ μὲν ἀπὸ ἀδόξων καὶ φαύλων γεγονέναι προγόνων, οἷον ἐὰν ὦσιν οἱ πρόγονοι ἀγεννεῖς κατὰ φύσιν ἢ ἄλλως ἀνώνυμοι. τὸ δὲ ἀπὸ ἀδίκων καὶ μοχθηρῶν, οἷον ἐὰν ὦσι προδόται ἢ ἄλλην τινὰ ἀδικίαν καὶ μοχθηρίαν ἔχωσιν.

---

2 ἔχθρα suspectum, καχεξία olim exstitisse e [57] et [37] coni. Sudh. 4 πόλεως: πόλεων M: ἀδοξία ⟨ἀτυχία⟩ πόλεως Rose coll. [57], sed cf. [5]: πόλεμος Wendl. 18 olim ἓν μὲν τὸ exstitisse puto (cf. v. 21 et p. 44, 3.) 22 ἢ M: καὶ Rose perperam

---

[9] vide p. XXXI[1].

τὸ δὲ ἀπ᾿ αὐτῆς τῆς τοῦ ἔχοντος κακίας, οἷον ἐὰν ᾖ αὐτὸς ἄδικος ἢ κακοπράγμων ἢ ἄλλην τινὰ κακὴν δόξαν κατ᾿ αὐτοῦ ἔχωσιν. τῆς δυσγενείας ἄρα ἐστὶν ἓν μὲν τὸ ἀπὸ ἀδόξων καὶ φαύλων προγόνων γεγονέναι, ἓν δὲ τὸ ἀπὸ ἀδίκων καὶ μοχθηρῶν, ἓν δὲ τὸ ἀπ᾿ αὐτῆς τῆς τοῦ ἔχοντος κακίας καὶ μοχθηρίας.

[12] ἡ κίνησις.

διαιρεῖται ἡ κίνησις εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν κατὰ τόπον, ἓν δὲ κατὰ ἀλλοίωσιν, ἓν δὲ αὐτὴ καθ᾿ ἑαυτὴν ἡ κίνησις. ἔστι δὲ ἡ μὲν κατὰ τόπον τὸ ἐξαλλάσσειν τόπον ἐκ τόπου, οἷον οἱ τρέχοντες καὶ πηδῶντες καὶ πλέοντες καὶ αἱ ἄλλαι αἱ τοιαῦται κινήσεις. ἡ δὲ κατὰ ἀλλοίωσιν, οἷον ⟨οἱ⟩ αὐξανόμενοι καὶ γηράσκοντες καὶ φθίνοντες καὶ ἄλλα τοιαῦτα. ἡ δὲ αὐτὴ καθ᾿ ἑαυτήν, οἷον οἱ τροχοὶ καὶ οἱ ἔμβικες καὶ ὁ κόσμος καὶ ἄλλα τοιαῦτα. τῆς κινήσεως ἄρα τὸ μέν ἐστι κατὰ τόπον, τὸ δὲ κατὰ ἀλλοίωσιν, τὸ δὲ αὐτὴ καθ᾿ ἑαυτήν.

[13] ἡ στάσις.

διαιρεῖται ἡ στάσις εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν μονή, ἓν δὲ διχόνοια, ἓν δὲ βαρέων καὶ κούφων θεωρία. ἔστι

1 ἐὰν supra lin. M 9 fort. olim ἓν δὲ ἀλλοίωσις 12 καὶ αἱ τοιαῦται αἱ ἄλλαι M: corr. Rose 13 οἱ addidi

[12] vide p. XIX.
Plat.: Theat. 181 C sq.: ἆρα κινεῖσθαι καλεῖς ὅταν τι χώραν ἐκ χώρας μεταβάλλῃ ἢ καὶ ἐν τῷ αὐτῷ στρέφεται . . . . ὅταν δὲ ᾖ μὲν ἐν τῷ αὐτῷ, γηράσκῃ δέ, ἢ μέλαν ἐκ λευκοῦ ἢ σκληρὸν ἐκ μαλακοῦ γίγνηται, ἤ τινα ἄλλην ἀλλοίωσιν ἀλλοιῶται . . . . δύο δὴ λέγω τούτω εἴδη κινήσεως, ἀλλοίωσιν, τὴν δὲ φοράν. — idem: Parm. 138 B (cf. Lutoslawski l. l. p. 365—367). aliter Tim. 43 B. Legg. X 894 D sqq. (Lutoslawski p. 472).
Aristoteles: de an. I 4 p. 408 b 9: τούτων δὲ συμβαίνει τὰ μὲν κατὰ φορὰν τινῶν κινουμένων, τὰ δὲ κατ᾿ ἀλλοίωσιν . . . . . . (Saepe alias, neque semper sibi constat Aristoteles v. e. gr. Phys. p. 225 b 7 et 243 a 6 e. a.)

δὲ ἡ μὲν μονὴ αὐτὴ ἐν ἑαυτῇ στάσις, οἷον οἱ νεκροὶ καὶ οἱ λίθοι πεπόνθασι, καὶ ἄλλα τοιαῦτα. ἡ δὲ διχόνοια τῶν πολιτῶν ἢ ἐχθρῶν ἢ ἄλλων τινῶν ζῴων κατ' ἔχθραν ἢ μάχην. ἡ δὲ βαρέων καὶ κούφων θεωρία, οἷον διὰ στάσεως τοῦ βαρέος καὶ ⟨τοῦ⟩ κούφου δοκιμασία.

[14] vide D. L. 25.
[15] vide D. L. 26.
[16] vide D. L. 8.
[17] vide D. L. 15.
[18] vide D. L. 29.

[19] *ὁ χρόνος.*

διαιρεῖται ὁ χρόνος εἰς τρία. ἔστι γὰρ ἢ παρεληλυθὼς ἢ παρὼν ἢ μέλλων, ὃν καὶ παρεσόμενον καλοῦσιν. εἰσὶ δὲ ἐν μὲν τῷ παρεληλυθότι μνῆμαι καὶ τὸ μνημονεύειν· ἅπαντες γὰρ τὰ παρῳχημένα μνημονεύουσιν. ἐν δὲ τῷ παρόντι αἱ ἐπιστῆμαι καὶ αἱ γνώσεις καὶ οἱ λογισμοὶ καὶ αἱ πράξεις αἱ πρασσόμεναι. ἐν δὲ τῷ μέλλοντι αἱ προσδοκίαι καὶ ἐλπίδες καὶ πᾶν τὸ τοιοῦτον.

---

3 *στάσις* vel simile quiddam addam post *ζῴων* 5 *στάσεως βαρέος* M: *σταθμοῦ* Rose | *τοῦ* add. Rose

---

[13] vide p. XXXII.
[19] vide p. XII. XXIII et div. 29 [18].
Gorg. Hel. p. 682 B: *εἰ μὲν γὰρ πάντες περὶ πάντων εἶχον τῶν* ⟨*τε* add. Blass.⟩ *παροιχομένων μνήμην τῶν τε παρόντων* ⟨*αἴσθησιν* ego *ἔννοιαν* Reiske⟩ *τῶν τε μελλόντων πρόνοιαν κτλ.*
Aristoteles: Parv. nat. p. 449 b 3 sqq.: *τῶν δὲ λοιπῶν πρῶτον σκεπτέον περὶ μνήμης καὶ τοῦ μνημονεύειν* .... 27: *τοῦ μὲν παρόντος αἴσθησις* (e v. 18, 19 subintellegas: *καὶ ἐπιστήμη*), *τοῦ δὲ μέλλοντος ἐλπίς, τοῦ δὲ γενομένου μνήμη.* — cf. Rhet. I 3 p. 1358 b 2—8. I 11 p. 1370 a 32. Eth. Nic. IX 7 p. 1168 a 13.
cf. Archyt. ap. Stob. Flor. IV p. 75, 27 Mein.: *ἔστι γὰρ ἀεὶ μνάμα μὲν ἁμὶν τῶ παρεληλυθότος χρόνω, πρόνοια δὲ τῶ μέλλοντος, αἴσθασις δὲ τῶ παρεόντος* (vide p. XXXVII).

[20] vide D. L. 7.

[21] *ἡ ὄρεξις τοῦ πράττειν.*

διαιρεῖται ἡ ὄρεξις τοῦ πράττειν εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν τοῦ ἡδέος, ἓν δὲ τοῦ καλοῦ, ἓν δὲ τοῦ συμφέροντος. ἔστι δὲ ἡ μὲν τοῦ ἡδέος ὄρεξις ⟨τὸ⟩ ταῖς ἐπιθυμίαις ὑπηρετεῖν, ἡ δὲ τοῦ καλοῦ τιμῆς ἕνεκεν καὶ εὐδοξίας, ἡ δὲ τοῦ συμφέροντος κέρδους καὶ ὠφελείας ἕνεκεν γινομένη.

[22] *ἡ τῶν ὄντων ὀνομασία.*

διαίρεσις τῆς τῶν ὄντων ὀνομασίας εἰς πέντε γίνεται. ἔστι γὰρ αὐτῶν λεγόμενα τὰ μὲν ὥσπερ ἓν πρὸς πολλά, τὰ δὲ ὡς πολλὰ πρὸς πολλὰ καὶ πρὸς ἕν, τὰ δὲ ὡς ἀνόμοια [ὡς] πρὸς ὅμοια, τὰ δὲ ὡς ὅμοια πρὸς ὅμοια, τὰ δὲ ὡς ἓν πρὸς ἕν. τὰ μὲν οὖν ὡς ἓν πρὸς πολλά, οἷον τάχιστος καὶ

---

5 *τὸ* addidi: *τοῦ* vel *ἕνεκα τοῦ* coni. Wendl. 10 *αὐτῶν* Rose: *αὐτῆς* M 12 *ὡς* seclusi

---

[21] vide p. XIII. XXIII.
Isocrates XV 217: *ἐγὼ μὲν οὖν ἡδονῆς ἢ κέρδους ἢ τιμῆς ἕνεκα φημὶ πάντας πάντα πράττειν· ἔξω γὰρ τούτων οὐδεμίαν ἐπιθυμίαν ὁρῶ τοῖς ἀνθρώποις ἐγγιγνομένην.* (Quae sunt me iudice eruditionis antiquissimae vestigia.)
cf. Plato: Gorg. 500 D. 513 D.
Aristoteles: Eth. Nic. p. 1104 b 30 sqq.: *τριῶν γὰρ ὄντων τῶν εἰς τὰς αἱρέσεις καὶ τριῶν τῶν εἰς τὰς φυγάς, καλοῦ συμφέροντος ἡδέος, καὶ τριῶν τῶν ἐναντίων, αἰσχροῦ βλαβεροῦ λυπηροῦ κτλ.* (cf. p. 1155 b 19. Top. p. 105 a 27. 118 b 27). de an. II 3 p. 414 b 5: .... *καὶ ἡ ἐπιθυμία· τοῦ γὰρ ἡδέος ὄρεξις αὕτη.* — adde Stob. Anthol. II p. 51 W.-H.: *σκοποὺς δ' ὑποτίθεται* (scil. Aristoteles) *τῆς ἐφέσεως τῶν ἀνθρωπίνων ὀρέξεων τρεῖς, τὸν τοῦ καλοῦ, τοῦ συμφέροντος, τοῦ ἡδέος.*
Peripatetici veteres apud Stob. Anthol. II p. 130, 15 W.-H.
Saepe recurrunt in arte rhetorica, velut in Theonis progymn. I p. 249, 12 Walz., apud Quint. III 8, 22 (cf. Praechter, Hierokles der Stoiker p. 73). cf. Cic. de inv. II 157 sqq.
cf. div. 11 [62], 23 [36].

μέγιστος καὶ κάλλιστος καὶ τὰ τοιαῦτα. τὰ δὲ ὡς πολλὰ πρὸς πολλὰ καὶ πρὸς ἕν, οἷον πλείω τάδε τῶνδε καὶ μείζω τάδε τῶνδε καὶ καλλίους οἵδε τῶνδε καὶ τὰ ἄλλα τὰ τοιαῦτα. τὰ δὲ ὡς ἀνόμοια [ὡς] πρὸς ὅμοια ⟨. . . . . . ., τὰ δὲ ὡς ὅμοια πρὸς ὅμοια,⟩ οἷον ἀδελφοὶ πρὸς ἀδελφοὺς καὶ φίλοι πρὸς φίλους καὶ τὰ τοιαῦτα. τὰ δὲ ὡς ἓν πρὸς ἕν, οἷον καλλίων ὅδε τοῦδε καὶ θάσσων ὅδε τοῦδε καὶ τὰ τοιαῦτα.

[23] vide D. L. 27.
[24] vide D. L. 30.

[25] *τὰ ὄντα.*

διαιρεῖται τὰ ὄντα εἰς τρία. ἔστι γὰρ αὐτῶν τὰ μὲν κατ' οὐσίαν, τὰ δὲ κατὰ συμβεβηκός, τὰ δὲ κατὰ πάθος. ἔστι δὲ τὰ μὲν κατ' οὐσίαν, οἷον τὸ εἶναι ἄνθρωπον καὶ τὸ ἕκαστον τῶν ὄντων εἶναι, τὰ δὲ κατὰ συμβεβηκὸς, ⟨οἷον⟩ τὸ τρέχειν καὶ καθεύδειν καὶ ἄλλα τοιαῦτα, τὸ δὲ κατὰ πάθος, οἷον τὸ ἥδεσθαι καὶ λυπεῖσθαι καὶ θαρρεῖν καὶ φοβεῖσθαι καὶ τὰ τοιαῦτα.

[26] vide D. L. 31.

---

2 *πλείω* Wendl.: *πλεῖον* M 4 *ὡς* seclusi | lacunam statuit Rose

---

[22] Plato: Hambruch p. 27 sqq. cf. quae ab Anaximene p. 76, 15 sqq. dantur *αὐξήσεως* rhetoricae praecepta: *χρὴ δὲ παρατιθέναι καὶ ἓν πρὸς ἕν, ὅταν τὸ σὸν μεῖζον ᾖ, καὶ πρὸς πλείω πλείω καὶ ἓν πρὸς πολλὰ καὶ πολλὰ πρὸς ἕν κτλ.*

Redolet divisio grammaticorum institutionem puerilem: cf. Theo Progymn. p. 210, 9 W.

---

[25] Arist. Metaph. 1017 a 7 sq.: *τὸ ὂν λέγεται τὸ μὲν κατὰ συμβεβηκός, τὸ δὲ καθ' αὑτό.* (cf. 1026 a 33. Eth. Nic. 1152 b 9.) — *συμβεβηκότων* una species est *τὰ συμβεβηκότα καθ' αὑτά* quae *πάθη καθ' αὑτά, οἰκεῖα* vel *ἴδια πάθη* dicuntur. (cf. Arleth, Die metaph. Grundlagen der aristot. Ethik, Pragae 1903, p. 18. Zeller II 2^3 p. 205[1].)

[27] *διαίρεσις τῶν βελτιόνων* etc.

διαίρεσις τῶν βελτιόνων καὶ τῶν χειρόνων καὶ τῶν καλλι⟨όν⟩ων καὶ αἰσχι⟨όν⟩ων καὶ λευκοτέρων καὶ μελανοτέρων: τούτων ἕκαστον λέγεται τριχῶς· ἢ γὰρ τοῦ ἐναντίου ἢ ἑαυτοῦ ἢ μέσου, οἷον ἐναντίου βέλτιον εἶναι λέγεται τὸ ἀγαθὸν τοῦ κακοῦ, ὡς τῆς πανουργίας καὶ τῆς ἀφροσύνης ἡ φρόνησις, τοῦ δὲ μέσου λέγεται βέλτιον εἶναι τὸ ἀγαθὸν οἷον τοῦ μήτε ἀγαθοῦ μήτε κακοῦ, αὐτὸ δὲ ἑαυτοῦ λέγεται βέλτιον καθὸ ἀγαθὸν ἀγαθοῦ, ἐὰν ἧττον τὸ ἕτερον. ὁμοίως δὲ καὶ τὸ καλόν· λέγεται γὰρ καὶ τοῦ αἰσχροῦ κάλλιον καὶ τοῦ μήτε αἰσχροῦ μήτε καλοῦ κάλλιον εἶναι, λέγεται δὲ καὶ τοῦ καλοῦ ἧττον δὲ καλοῦ κάλλιον εἶναι. ὁμοίως δὲ καὶ τὸ λευκότερον λέγεται· τὸ γὰρ λευκὸν καὶ τοῦ μέλανος λέγεται εἶναι λευκότερον καὶ τοῦ μήτε μέλανος ὄντος μήτε λευκοῦ, ὅπερ ἐστὶ μέσον. καὶ ἐπὶ τῶν ἄλλων δὲ τῶν οὕτως λεγομένων τὸν αὐτὸν τρόπον ἔχειν φατέ. κατὰ τρεῖς ἄρα τρόπους λέγεται βελτίω καὶ χείρω καὶ καλλίω καὶ αἰσχίω καὶ λευκότερον καὶ μελανότερον.

[28] *τὰ ἐξ ὧν πόλις οἰκεῖται.*

διαιρεῖται τὰ ἐξ ὧν πόλις οἰκεῖται εἰς τρία. ἔστι γὰρ αὐτῶν ἓν μὲν ἐκ τοῦ μαχίμου μέρους τῶν ἀνθρώπων, ἓν

---

2 *καλλιόνων κ. αἰσχ.* corr. Rose 3 *μελανωτέρων* scripsit Rose (id. v. 18) 5 *ἐναντίου* Rose: *ἐναντΐον* M | *λέγεται* supra lin. M 8 *τὸ μήτε* M: corr. Rose 15 *μέσον⟨, καὶ τοῦ λευκοῦ, ἧττον δὲ λευκοῦ⟩* coni. Wendl. 16 *φατέ*: *φατέον* coni. Wendl. 18 *λευκότερα καὶ μελανότερα* coni. Wendl.

---

[27] cf. Hambruch p. 14.
[28] vide p. XIX.
Plato: Resp. IV p. 440 E: *ἢ καθάπερ ἐν τῇ πόλει συνεῖχεν αὐτὴν τρία ὄντα γένη, χρηματιστικόν, ἐπικουρητικόν, βουλευτικόν ....* (Quam parum in singulis civium generibus distinguendis sibi constiterit Plato, exponit Raeder l. l. p. 194[1].)
Aristoteles: exhibet similia quaedam in Politicis, velut p. 1328 b 19 sqq. 1329 a 30 sqq.

δὲ ἐκ τοῦ βουλεύεσθαι δυναμένου, ἓν δὲ ἐκ τοῦ ἐργάζεσθαι. τὸ μὲν οὖν μάχιμον μέρος τὸ ἄλκιμόν ἐστι, τὸ δὲ βουλεύεσθαι δυνάμενον τὸ τῶν πρεσβυτέρων, τὸ δὲ ἐργάζεσθαι τὸ τῶν τεχνιτῶν καὶ γεωργῶν καὶ τῶν ἄλλων τῶν τοιούτων. τούτων δὲ ὅτι ἂν ἀπῇ, οὐ ῥαδίως ἡ πόλις οἰκεῖται.

[29] *ἡ γένεσις.*

διαιρεῖται ἡ γένεσις εἰς τέσσαρα. ἔστι δὲ αὐτῆς ἓν μὲν ἐξ οὐκ ὄντος εἰς οὐσίαν μεταβάλλειν, οἷον τὸν οὐκ ὄντα υἱὸν γενέσθαι καὶ ἀνδριάντα τὸν οὐκ ὄντα γενέσθαι καὶ πάντα τὰ τοιαῦτα, ἓν δὲ ἐκ τόπου εἰς τόπον μεταβάλλειν καὶ τεθῆναι ἐν ἄλλῳ, οἷον οἱ πλέοντες καὶ πορευόμενοι καὶ πᾶν τὸ τοιοῦτον, ἓν δὲ ἕξεως καὶ διαθέσεως μεταβολή, οἷον τὸ ἐξ ἀπαιδεύτου πεπαιδευμένον γενέσθαι καὶ ἐκ νέου πρεσβύτην καὶ ἐξ ἐχθροῦ φίλον, ἓν δὲ πραγμάτων μεταβολή, οἷον ἐκ πλουσίου πένητα καὶ ἐξ ἰδιώτου ἄρχοντα καὶ ἐξ ἄρχοντος ἰδιώτην γενέσθαι καὶ ἄλλα τοιαῦτα.

[30] *τὸ ἀληθές.*

διαιρεῖται τὸ ἀληθὲς εἰς τρία. ἔστι γὰρ αὐτοῦ ἓν μὲν τὸ πρᾶγμα ἀληθὲς εἶναι, ἓν δὲ τὸν λόγον, ἓν δὲ καὶ τὸ συναμφότερον. ἔστι δὲ τὸ πρᾶγμα ἀληθές, ὅταν ᾖ οὕτως ἔχον καὶ οὐκ ἄλλως, οἷον τὸ τὸν θεὸν ἀθάνατον εἶναι· οὕτως γὰρ ἔχει τὸ πρᾶγμα καὶ οὐκ ἄλλως. τὸ δὲ λέγειν 'οὗτος

---

5 *ὅτι ἂν*: *ὅταν τι* malim   *δὲ αὐτῆς* Rose: *γὰρ αὐτῶν* M
10 *ἐκ τόπου* Rose: *ἐκ τοῦ* M   11 *τεθῆναι* Rose: *τιθεῖν* M
15 *πένητα*: *πλάνητα* legit Rose per errorem   18 *τὸ* ⟨*τὸ*⟩ Wendl. coll. p. 50, 7   19 *τὸν λόγον* Rose: *τῷ λόγῳ* M

---

[29] cf. Aristot. Phys. p. 225 a 3 sqq. Zeller II 2 p. 315 sqq. — De *ἕξις* et *διάθεσις* terminis Aristotelicis eorumque differentia cf. Trendelenburg ad libr. de an. II p. 366.

cf. Posidonius apud Stobaeum (in Doxographis p. 462, 13 sqq. Diels).

vide quoque div. [12].

ἐστὶν ἀληθὴς λόγος' τοῦ ἀληθοῦς ἐστιν· ἔστι γὰρ ὁ λόγος πρᾶγμα ὑπὸ τὸν λόγον τοῦτον ὄν. τὸ δὲ λέγειν ὅτι 'οἱ ἄνθρωποι ἔμψυχοί εἰσι', καὶ ὁ λόγος ἀληθής ἐστι καὶ τὸ πρᾶγμα.

[31] τὸ ψεῦδος.

cf. [30] διαιρεῖται τὸ ψεῦδος εἰς τρία. ἔστι γὰρ αὐτοῦ ἓν μὲν τὸ τὸ πρᾶγμα εἶναι ψεῦδος, ἓν δὲ τὸν λόγον, ἓν δὲ τὸ συναμφότερον. τὸ μὲν οὖν πρᾶγμά ἐστι ψεῦδος, ὅταν μὴ οὕτως ἔχῃ ὡς λέγεται ἀλλ' ἄλλως, οἷον ⟨ὅτι⟩ ὁ καθήμενός ἐστιν ἑστηκὼς ἢ ὁ λευκὸς ⟨μέλας⟩. ὁ δὲ λόγος ἔσται ψευδής, ὅταν τις λέγῃ τὸν ἀληθῆ λόγον εἶναι ψευδῆ, οἷον ὁ λέγων τὸν περὶ τοῦ θεοῦ λόγον [οἷον ὁ λέγων] ὅτι ἔστι θεὸς ⟨ἀθάνατος⟩, καὶ τοῦτον ὁ φάσκων ψευδῆ εἶναι, ὁ λόγος οὗτός ἐστι ψευδής· οὐ γάρ ἐστιν ὑπὸ τὸν λόγον τοῦτον πρᾶγμα οὐδὲν ἀλλὰ ὁ λόγος. ὁ δὲ λέγων τὴν ἡμέραν νύκτα εἶναι καὶ τὸ πρᾶγμα ψεῦδος ἐρεῖ καὶ τὸν λόγον.

[32] ἡ τιμή.

διαιρεῖται ἡ τιμὴ εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν εἰς ἀργυρίου λόγον, ἓν δὲ εἰς ἐπαίνου λόγον, ἓν δὲ εἰς θεραπείας τινὸς καὶ ἐπιμελείας λόγον. τὸ μὲν οὖν εἰς ἀργυρίου λόγον ἐστὶν ἀξία ἐν πράσει καὶ ὠνήσει, οἷον ἄξια τῆς τιμῆς φαμεν εἶναι. τὸ δὲ εἰς ἐπαίνου λόγον [εἶναι], οἷον αἱ ἐν

1 non sana sunt | ἐστιν ὁ λόγος· ἔστι γὰρ coni. Wendl. 9 ὅτι addidi | ἐστιν Wendl.: ἢ M 10 μέλας add. Rose 12 οἷον ὁ λέγων seclusi 13 ἀθάνατος addam coll. p. 49, 21 | καὶ τοῦτον ὁ φάσκων fortasse delendum 15 ἀλλὰ ὁ: ἀλλ' ἢ coni. Wendl. 19 θεραπείαν M (compendio scriptum) 21 τιμῆς ⟨τινα⟩ coni. Wendl. 22 εἶναι seclusi

[30] vide p. XXXIII.
[32] vide p. XXXII. XXXIII.
cf. Aristot. Rhet. I 7 p. 1365 a 7: ἡ γὰρ τιμὴ ὥσπερ ἀξία τίς ἐστιν.
cf. div. 17 et 20.

ταῖς πόλεσι τιμαὶ δι' ἐνίας πράξεις γινόμεναι καὶ δωρεαὶ διδόμεναι. τὸ δὲ εἰς θεραπείας λόγον καὶ ἐπιμελείας, οἷον τὸν θεὸν τιμῶμεν θεραπείᾳ τινὶ καὶ ἐπιμελείᾳ τινός, καὶ τοὺς γονεῖς δὲ τιμῶμεν, ὁμοίως δὲ καὶ τὰ ἄλλα τὰ διὰ θεραπείαν γινόμενα.

[33] vide D. L. 19.

[34] *τῶν ἐπιστημῶν ἡ κρίσις.*

διαιρεῖται τῶν ἐπιστημῶν ἡ κρίσις εἰς τρία. ἔστι γὰρ αὐτῶν ἓν μέν, ἂν ᾖ βελτιόνων ἢ καλλιόνων, ἓν δέ, ἂν ᾖ συμφερόντων μᾶλλον καὶ κατεπειγόντων, ἓν δέ, ἂν ᾖ τῶν ἀκριβεστέρων μᾶλλον δὲ καὶ εἰς ἀπόδειξιν συντεινόντων. ἔστι δὲ τὸ μὲν βελτιόνων καὶ καλλιόνων οἷον ἡ ἀνδριαντοποιητικὴ τέχνη καὶ ἡ ἀγαλματοποιητικὴ καὶ ἡ πορφυροβαφικὴ καὶ αἱ τοιαῦται. συμφερόντων δὲ καὶ μᾶλλον κατεπειγόντων οἷον ἡ σκευοποιητικὴ [σκευικὴ] καὶ οἰκοδομικὴ καὶ αἱ τοιαῦται. ἀκριβεστέρων δὲ καὶ μᾶλλον εἰς ἀπόδειξιν συντεινόντων αἵ τε μαθηματικαὶ καὶ ἡ φιλοσοφία.

[35] *ὁ στρατηγός.*

διαιρεῖται ὁ στρατηγὸς εἰς τρία. ἔστι γὰρ ἢ τῷ νόμῳ στρατηγὸς ἢ κατὰ δύναμίν τινα καὶ πραγμάτων κυρείαν στρατηγὸς ἢ κατὰ ἐπιστήμην. ἔστι δὲ ὁ μὲν κατὰ νόμον στρατηγὸς οἷον οἱ ἐν ταῖς πόλεσιν αἱρούμενοι, ὁ δὲ κατὰ ἐπιστήμην ὁ ἔχων τὴν στρατηγικὴν ἐπιστήμην, ὁ δὲ κατὰ

---

3 *τινός* fort. delendum 11 olim fort. *τε καὶ μᾶλλον*: *καὶ μᾶλλον* [*δὲ*] Wendl. 15 *σκευική* delevi, *καὶ χαλκευτικὴ* vel simile aliquid latere coni. Sudh. coll. p. 12, 18: *τέχνη* Chr. Jensen coll. v. 13

---

[34] vide p. XXVI. XXVII.
cf. Hambruch p. 22[1].

[35] cf. div. 14 [63] et p. XXXI.

δύναμίν τινα καὶ πραγμάτων κυρείαν οἷον ὁ ἀπό τινος ἐπισταθεὶς ἢ αὐτὸς ὑφ' ἑαυτοῦ κύριος χρημάτων καὶ στρατιωτῶν γενόμενος.

[36] vide D. L. 23.

[37] *αἱ μέθοδοι αἱ εἰς τὰ προβλήματα.*

διαιροῦνται αἱ μέθοδοι αἱ εἰς τὰ προβλήματα εἰς τρία. εἰσὶ γὰρ αὐτῶν αἱ μὲν κριτικαί, αἱ δὲ θεωρητικαί, αἱ δὲ ἐριστικαί. καὶ κριτικαὶ μέν εἰσιν αἷς τὸ βέλτιον καὶ τὸ χεῖρον διακρίνομεν, οἷον πότερον βέλτιον δικαιοσύνη ἢ ἀνδρεία. θεωρητικαὶ δὲ αἷς θεωροῦμεν τὸ τοιοῦτον, οἷον πότερον ταὐτὸν νόσος ἐστὶν ὑγείᾳ καὶ εὐεξίᾳ ἢ οὔ. ἐριστικαὶ δὲ αἷς τοὺς ὅρους ἀναιροῦμεν, οἷον οὐκ ἔστιν εὐεξία σωμάτων ἡ κρατίστη.

[38] *ἡ λύπη.*

διαιρεῖται ἡ λύπη εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐφ' οἷς προσήκει τὸν φρόνιμον λυπεῖσθαι, ἓν δὲ ἐπὶ [τοῖς ἀλλοτρίοις ἀγαθοῖς καὶ κακοῖς καὶ] τοῖς ἄλλοις τοῖς μηδὲν προσήκουσι λυπεῖσθαι. ἔστι δὲ τὸ μὲν ἐφ' οἷς προσήκει τὸν φρόνιμον λυπεῖσθαι, οἷον ἐπὶ τοῖς ἑαυτοῦ ἀτυχήμασιν ἢ τῶν αὐτοῦ τινὸς οἰκείων ἢ φίλων ἢ τῆς συμπάσης πόλεως καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων. τὸ δὲ ἐπὶ [τοῖς ἀλλοτρίοις ἀγαθοῖς λυπεῖσθαι ἐστὶ φθόνος τις καὶ βασκανία καὶ πᾶν

---

1 ἀπό: ὑπό Rose 13 ἡ κρατίστη ⟨ἕξις⟩ coni. Wendl. 15 sqq. Textus male intellectus, tum nescio quotiens, ut sensus denique efficeretur, interpolatus, ad pristinam formam redigi non potest. Sed omissis quae uncis inclusi, sensum antiquum pellucere puto. (cf. p. XXXIV.) | ἐφ': cod. ἐν.

---

[37] vide p. XXVI. XXVII et Hambruchium p. 21 sqq.

[38] Gorg. Hel. p. 681 B: ἧς (scil. ποιήσεως) τοὺς ἀκούοντας εἰσῆλθε καὶ φρίκη περίφοβος καὶ ἔλεος πολύδακρυς καὶ ζῆλος

τὸ τοιοῦτον· τὸ δὲ ἐπὶ πᾶσι κακοῖς καὶ ἀγαθοῖς καὶ πᾶσι] τοῖς ἄλλοις τοῖς μηδὲν προσήκουσι λυπεῖσθαι, τὸ μὲν ἐπὶ τοῖς κακοῖς τοῖς ἀλλοτρίοις ἔλεος, τὸ δὲ ἐπὶ τοῖς ἀγαθοῖς φθόνος [, τὸ δὲ ἐπὶ τοῖς ἄλλοις τοῖς μηδὲν προσήκουσι φθόνος καὶ βασκανία].

[39] ἡ ἡδονή.

διαιρεῖται ἡ ἡδονὴ εἰς τέσσαρα. ἔστι γὰρ αὐτῆς ἓν μὲν περὶ τὸ λογ⟨ιστ⟩ικόν, ⟨ἓν δὲ περὶ τὸ θυμικόν,⟩ ἓν δὲ περὶ

---

1 πᾶσι ⟨καὶ⟩ κακοῖς coni. Wendl. 8 ἓν — θυμικόν suppl. Rose

(πόθος Bek.) φιλοπενθής, ἐπ' ἀλλοτρίων τε πραγμάτων καὶ σωμάτων εὐπραγίαις καὶ δυσπραγίαις ἴδιόν τι πάθημα διὰ τῶν λόγων ἔπαθεν ἡ ψυχή.

Aristoteles: Eth. Nic. p. 1108 b 1: νέμεσις δὲ μεσότης φθόνου καὶ ἐπιχαιρεκακίας, εἰσὶ δὲ περὶ λύπην καὶ ἡδονὴν τὰς ἐπὶ τοῖς συμβαίνουσιν τοῖς πέλας γινομένας. — Rhet. II 11 p. 1388 a 32: εἰ γάρ ἐστι ζῆλος λύπη τις ἐπὶ φαινομένῃ παρουσίᾳ ἀγαθῶν ἐντίμων καὶ ἐνδεχομένων αὐτῷ λαβεῖν περὶ τοὺς ὁμοίους τῇ φύσει, οὐχ ὅτι ἄλλῳ ἀλλ' ὅτι οὐχὶ καὶ αὐτῷ ἐστιν, (διὸ καὶ ἐπιεικής ἐστιν ὁ ζῆλος καὶ ἐπιεικῶν, τὸ δὲ φθονεῖν φαῦλον καὶ φαύλων· ὁ μὲν γὰρ αὐτὸν παρασκευάζει διὰ τὸν ζῆλον τυγχάνειν τῶν ἀγαθῶν, ὁ δὲ τὸν πλήσιον μὴ ἔχειν διὰ τὸν φθόνον), κτλ.

cf. Cic. Tusc. III 21: Atqui, quem ad modum misericordia (ἔλεος) aegritudo (λύπη) est ex alterius rebus adversis, sic invidentia (φθόνος) aegritudo est ex alterius rebus secundis cf. IV 16—20.

---

[39] vide p. XIX.

Plato: Resp. IX p. 580 D—581 A: τριῶν ὄντων (scil. ψυχῆς εἴδων. vide div. 12 [1]) τριτταὶ καὶ ἡδοναί μοι φαίνονται, ἑνὸς ἑκάστου μία ἰδία· ..... τὸ μέν, φαμέν, ἦν ᾧ μανθάνει ἄνθρωπος, τὸ δὲ ᾧ θυμοῦται, τὸ δὲ τρίτον .... ἐπιθυμητικὸν γὰρ αὐτὸ κεκλήκαμεν διὰ σφοδρότητα τῶν τε περὶ τὴν ἐδωδὴν ἐπιθυμιῶν καὶ πόσιν καὶ ἀφροδίσια καὶ ὅσα ἄλλα τούτοις ἀκόλουθα ....τί δέ; τὸ θυμοειδὲς οὐ πρὸς τὸ κρατεῖν μέντοι φαμὲν καὶ νικᾶν καὶ εὐδοκιμεῖν ἀεὶ ὅλον ὡρμῆσθαι;

Aristoteles: Eth. Nic. p. 1117 b 28: διῃρήσθωσαν δὴ καὶ αἱ σωματικαὶ καὶ αἱ ψυχικαί (scil. ἡδοναί). cf. 1168 b 17.

τὸ ἐπιθυμητικόν, ἓν δὲ περὶ τὰς αἰσθήσεις. ἔστι δὲ ἡ ⟨μὲν⟩ [τὸ μανθάνειν] περὶ τὸ λογιστικὸν ἡ ἀπὸ τοῦ μανθάνειν καὶ ἀνευρίσκειν ἡδονὴ καὶ τὰ τοιαῦτα. περὶ δὲ τὸ θυμικὸν οἷον ἥ τε τοῦ κρατεῖν καὶ νικᾶν καὶ ἀντιτιμωρεῖσθαι καὶ αἱ τοιαῦται. αἱ δὲ περὶ τὸ ἐπιθυμητικὸν αἵ τε ἀπὸ τῆς τροφῆς καὶ συνουσίας καὶ αἱ τοιαῦται ἡδοναὶ γινόμεναι. ἡ δὲ [περὶ τὸ αἰσθητικὸν] περὶ τὰς αἰσθήσεις, οἷον ἥ τε διὰ τοῦ ὁρᾶν καὶ γεύεσθαι καὶ ὀσφραίνεσθαι καὶ αἱ τοιαῦται.

[40] ἡ εὐταξία.

διαιρεῖται ἡ εὐταξία εἰς τέσσαρα. ἔστι γὰρ αὐτῆς ἓν μὲν περὶ ψυχήν, ἓν δὲ περὶ σῶμα, ἓν δὲ περὶ πλῆθος, ἓν δὲ περὶ κινήσεις. ἡ μὲν οὖν ἐν τῇ ψυχῇ εὐταξία ἐγγινομένη κοσμιότης καλεῖται, ἡ δὲ ἐν τῷ σώματι εὐταξία κάλλος καλεῖται, ἡ δὲ ἐν κινήσει εὐταξία εὐρυθμία ὀνομάζεται, ἡ δὲ ἐν τῷ πλήθει, οἷον ἡ πρὸς ἄρχοντας πειθαρχία εὐταξία προσαγορεύεται.

[41] ἡ ἀταξία.

cf. [40] διαιρεῖται ἡ ἀταξία εἰς τέσσαρα. ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν ψυχῇ, ἓν δὲ ἐν σώματι, ἓν δὲ ἐν πλήθει, ἓν δὲ ἐν κι-

1 ἡ: ἢ M, item 2: locum sanavit Wendl. 3 olim fort. αἱ τοιαῦται 16 πειθαρχία εὐταξία M: transp. Rose

[40] vide p. XXXII.
Plato: Legg. II 653E: ...τῶν ἐν ταῖς κινήσεσι τάξεων οὐδὲ ἀταξιῶν, οἷς δὴ ῥυθμὸς ὄνομα καὶ ἁρμονία. — 668DE: ...τοὺς ἀριθμοὺς τοῦ σώματος καὶ ἑκάστων τῶν μερῶν τὰς θέσεις...., ὅσοι τ' εἰσὶ καὶ ὁποῖα παρ' ὁποῖα αὐτῶν κείμενα τὴν προσήκουσαν τάξιν ἀπείληφε et paulo post 669A: ....γιγνώσκειν, εἴτε καλὸν εἴτε ὅπῃ ποτὲ ἐλλιπὲς ἂν εἴη κάλλους. — cf. VII 790E—791A. 795E. 802CE. (Videtur ἡ εὐταξία vel ἡ τάξις ut eruditionis finis ab ipso Platone proposita esse.) — cf. Gorg. p. 503D sqq.

νήσει. ἡ μὲν οὖν ἐν τῇ ψυχῇ ἀταξία ἐγγινομένη ἀσωτία ἢ ἀκολασία καλεῖται, ἡ δὲ ἐν τῷ σώματι ἀταξία αἰσχρότης καλεῖται, ἡ δὲ ἐν τῷ πλήθει ἀταξία ἀπειθαρχία καλεῖται, ἡ δὲ ἐν κινήσει ἀρρυθμία προσαγορεύεται.

[42] **τὰ ἐν φιλοσοφίᾳ προβλήματα.**

διαιρεῖται τὰ ἐν φιλοσοφίᾳ προβλήματα εἰς πέντε. ἔστι γὰρ αὐτῶν ἓν μὲν πολιτικόν, ἓν δὲ διαλεκτικόν, ἓν δὲ φυσικόν, ἓν δὲ ἠθικόν, ἓν δὲ ῥητορικόν. πολιτικὸν μὲν οὖν ἐστι τὸ ὑπὲρ νόμων καί τινων τιμωριῶν προβαλλόμενον, οἷον πότερον δεῖ κολάζειν τὰ ξενικὰ ἁμαρτήματα ἢ τὰ πολιτικὰ ἢ ἀνόμοια ἢ τἆλλα τὰ τοιαῦτα. διαλεκτικὸν δέ, οἷον πότερον τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη ἢ ἑτέρα, καὶ τἆλλα

---

2 *ἀταξία* Rose: *ἀκολασία* M 3 *ἀταξία* Rose: *ἀκολασία* M 4 *ἀταξία* post *κινήσει* addam | *ἀρρυθμία* Rose: *εὐρυθμία* M 6 *τὰ* supra lin. M 10 *οἷον* etc. locus non sanus; fortasse olim legebatur: *οἷον πότερον δεῖ κολάζειν τὰ ξενικὰ ἁμαρτήματα ὡς τὰ πολιτικὰ ἢ ἀνομοίως* 11 *ἀνόμοια*: *ἄνομον* Rose: *ἀνομήματα* Wendl. 12 *ἡ αὐτὴ* scr. coll. Aristot. Top. p. 105 b 19 (vide infra): *αὕτη ἡ* M: *αὐτὴ ἡ* Rose | *ἑτέρα* Rose: *ἕτερα* M

---

[42] vide p. XXIII. XXVI. XXVII.
Aristoteles: Top. I 14 p. 105 b 19: *ἔστι δ' ὡς τύπῳ περιλαβεῖν τῶν προτάσεων καὶ τῶν προβλημάτων μέρη τρία. αἱ μὲν γὰρ ἠθικαὶ προτάσεις εἰσίν, αἱ δὲ φυσικαί, αἱ δὲ λογικαί. ἠθικαὶ μὲν οὖν αἱ τοιαῦται, οἷον πότερον δεῖ τοῖς γονεῦσι μᾶλλον ἢ τοῖς νόμοις πειθαρχεῖν, ἐὰν διαφωνῶσιν· λογικαὶ δὲ οἷον πότερον τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη ἢ οὔ, φυσικαὶ δὲ οἷον πότερον ὁ κόσμος ἀΐδιος ἢ οὔ. ὁμοίως δὲ καὶ τὰ προβλήματα.* — adde Diog. Laert. V 28 (Aristoteles): *διττὸν εἶναι τὸν κατὰ φιλοσοφίαν λόγον, τὸν μὲν πρακτικόν, τὸν δὲ θεωρητικόν· καὶ τοῦ πρακτικοῦ τόν τε ἠθικὸν καὶ πολιτικόν .... τοῦ δὲ θεωρητικοῦ τόν τε φυσικὸν καὶ λογικόν .... καὶ τούτου διττοὺς ὑποθέμενος σκοποὺς τό τε πιθανὸν καὶ ἀληθὲς διεσάφησε. δύο δὲ πρὸς ἑκάτερον δυνάμεσιν ἐχρήσατο, διαλεκτικῇ μὲν καὶ ῥητορικῇ πρὸς τὸ πιθανόν, ἀναλυτικῇ δὲ καὶ φιλοσοφίᾳ πρὸς τὸ ἀληθές.*
cf. Diog. Laert. VII 39 (de Stoicis). Cic. de fin. IV 4. Sen. Ep. 89, 9.

τὰ τοιαῦτα. φυσικὸν δέ, οἷον πότερον εἷς κόσμος ἐστὶν ἢ πλείους, καὶ τἆλλα τὰ τοιαῦτα. ἠθικὸν δέ, οἷον πότερον δεῖ πάντα χαρίζεσθαι τοῖς φίλοις ἢ τὰ μὲν τὰ δὲ οὔ, καὶ τἆλλα τὰ τοιαῦτα. ῥητορικὸν δέ, οἷον ἐάν τις ὑπὲρ ποιητῶν κατηγορῇ ἢ ἀπολογῆται, οἷον διατί τὸν Ὀδυσσέα οἱ ἑταῖροι φρονιμώτατον ὄντα ἐξέθηκαν εἰς τὴν νῆσον καθεύδοντα, καὶ τὰ τοιαῦτα.

[43] ἡ κόλασις.

διαιρεῖται ἡ κόλασις εἰς τέσσαρα. ἔστι γὰρ αὐτῆς ἓν μὲν ἀναίρεσις, ἓν δὲ εἰς ἀργυρίου λόγον, ἓν δὲ εἰς προπηλακισμόν, ἓν δὲ εἰς κάκωσιν σώματος. ἡ μὲν οὖν ἀναίρεσίς ἐστιν, οἷον ἐπὶ τοῖς ἀνηκέστοις ἁμαρτήμασι, ὅπερ τιμωρία ὀνομάζεται. αἱ δὲ εἰς ἀργυρίου λόγον, οἷον αἱ ὑπὸ τῶν νόμων ζημίαι κολάζουσιν. αἱ δὲ εἰς προπηλακισμοῦ λόγον, οἷον αἱ ἀτιμίαι αἱ ἐν ταῖς πόλεσι γινόμεναι, οἷον ἄτιμον εἶναι ὃς ἂν ἀσπίδα ῥίψῃ ἢ παρακαταθήκην ἀποστερήσῃ, καὶ ⟨αἱ⟩ ἄλλαι αἱ τῶν νόμων ἀτιμίαι. αἱ δὲ εἰς κάκωσιν σώματος, οἷον οἱ μαστιγοῦντες καὶ οἱ λοιδοροῦντες καὶ οἱ τοιοῦτοι.

[44] vide D. L. 17.

---

10 et 11 olim fort. exst.: *προπηλακισμός* et *κάκωσις* del. *εἰς* 14 *κολάζουσαι* coni. Wendl. 16 *ῥίψῃ* Rose: *ῥίψει* M | *αἱ* add. Rose 18 *οἱ λοιδοροῦντες* susp. fortasse olim: *οἱ στρεβλοῦντες* vel simile quidam

---

[43] cf. e. g. Plato: Gorg. 480D: *ἐὰν μέν γε πληγῶν ἄξια ἠδικηκὼς ᾖ, τύπτειν παρέχοντα, ἐὰν δὲ δεσμοῦ, δεῖν, ἐὰν δὲ ζημίας, ἀποτίνοντα, ἐὰν δὲ φυγῆς, φεύγοντα, ἐὰν δὲ θανάτου, ἀποθνήσκοντα. κτλ.*

cf. Gorg. Hel. p. 681B: *ἄξιος οὖν ὁ μὲν ἐπιχειρήσας βάρβαρος βάρβαρον ἐπιχείρημα καὶ λόγῳ καὶ νόμῳ καὶ ἔργῳ, λόγῳ μὲν αἰτίας, νόμῳ δ' ἀτιμίας, ἔργῳ δὲ ζημίας τυχεῖν κτλ.*

vide quoque div. 17 [44] et p. XIII.

[45] *ἡ ἁμαρτία.*

διαιρεῖται ἡ ἁμαρτία εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν μετὰ ἀδικίας, ἓν δὲ μετὰ ἀγνοίας, ἓν δὲ μετὰ ἀτυχίας. τὸ μὲν οὖν μετὰ ἀδικίας ἁμαρτάνειν ἐστίν, οἷον τὸ εἰς θεὸν ἀσεβεῖν καὶ τοὺς φίλους κακῶς ποιεῖν καὶ τὰ ἐν ταῖς πόλεσιν ἀδικήματα, τὸ δὲ μετὰ ἀγνοίας ἁμαρτάνειν, οἷον γραμματικῇ καὶ ἀριθμητικῇ καὶ ταῖς τοιαύταις ἐπιστήμαις· ταῦτα γὰρ οὐ μετὰ ἀδικίας γίνεται, ἀλλὰ μετὰ ἀγνοίας. μετὰ ἀτυχίας δὲ ἁμαρτάνειν ἐστίν, οἷον οἱ τοῦ σκοποῦ ἀποτυγχάνοντες καὶ οἱ τῶν ὁδῶν καὶ οἱ ἀκούσια ἁμαρτάνοντες.

[46] *ἡ ἀτυχία.*

διαιρεῖται ἡ ἀτυχία εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν ταῖς πράξεσιν, ἓν δὲ ἐν τοῖς καιροῖς, ἓν δὲ ἐν τοῖς συμπτώμασι τοῖς ἀπὸ ταὐτομάτου γινομένοις. τὸ μὲν οὖν ἐν ταῖς πράξεσιν ἀτυχεῖν βλάπτεσθαι καὶ ζημιοῦσθαί ἐστι, τὸ δὲ ἐν τοῖς καιροῖς ἀτυχεῖν ὑστερεῖσθαί ἐστι καὶ προτερεῖν καὶ [τοῦ] διαμαρτάνειν [καὶ] τοῦ καιροῦ [γινόμενον], τὸ δὲ ἐν τοῖς συμπτώμασι τοῖς ἀπὸ ταὐτομάτου γινομένοις, οἷον αἱ πληγαὶ αἱ ἐξαίφνης καὶ αἱ βλάβαι αἱ ἐξ ἀπροσδοκήτου προσπίπτουσαι.

[47] *τὰ ἴδια καὶ τὰ κοινῶς ἀγαθά.*

διαιρεῖται τὰ ἴδια καὶ τὰ κοινῶς ἀγαθὰ εἰς πέντε. ἔστι γὰρ αὐτῶν τὰ μὲν ἴδια θεοῦ, τὰ δὲ ἴδια ἀνθρώπων, τὰ δὲ

---

6 *ἐν* post *οἷον* addere vult. Wendl. 16/17 verba uncis inclusa delenda censeo 22 fort. *κοινὰ*

---

[45] vide p. XIII (XIII[4] locum Anaximenis). XXXIII. Aristoteles: Eth. Nic. p. 1135 b 11: *τριῶν δὴ οὐσῶν βλαβῶν ...... τὰ μὲν μετ᾽ ἀγνοίας ἁμαρτήματά ἐστιν ..... ἀτύχημα ...... ἀδίκημα* (cf. Polit. 1274 b 5). — Rhet. I 13 p. 1374 b 6: *ἔστιν ἀτυχήματα μὲν ὅσα παράλογα καὶ μὴ ἀπὸ μοχθηρίας, ἁμαρτήματα δὲ ὅσα μὴ παράλογα καὶ μὴ ἀπὸ πονηρίας, ἀδικήματα δὲ ὅσα μήτε παράλογα ἀπὸ πονηρίας τ᾽ ἐστίν.*
cf. Cic. part. or. 42 sqq. 131 et saepe alias.

κοινὰ θεοῦ καὶ ἀνθρώπων, τὰ δὲ κοινὰ ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων πλὴν θεοῦ, τὰ δὲ πάντων κοινά. ἴδια μὲν οὖν ἐστι θεοῦ τὸ ἀίδιον εἶναι καὶ τὰ τοιαῦτα, ἴδια δὲ ἀνθρώπου τὸ σώφρονα καὶ δίκαιον εἶναι καὶ τὰ τοιαῦτα, κοινὰ ⟨δὲ⟩ θεοῦ καὶ ἀνθρώπων τὸ σπουδαῖον εἶναι· καὶ γὰρ τῷ θεῷ ὑπάρχει καὶ τῷ ἀνθρώπῳ σπουδαίῳ εἶναι. ἴδιον δὲ ἀνθρώπου ἡ ἐγκράτεια κακοῦ τινος οὖσα ἀποτρεπτική, τῷ θεῷ δὲ οὔτε γενέσθαι οὔτε ὑπάρχειν κακὸν καλῶς ἔχει λέγειν· καὶ τἆλλα τὰ τοιαῦτα. κοινὸν δὲ ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων πλὴν θεοῦ ἀνδρεία· αὕτη γὰρ κινδύνου τινὸς καὶ φόβου ἀντιστατική ἐστι· καὶ πάντα τὰ τοιαῦτα. πάντων δὲ κοινὸν τὸ καλόν.

[48] vide D. L. 18.

[49] τὸ ψευδολογεῖν.

διαιρεῖται τὸ ψευδολογεῖν εἰς τέσσαρα. ἔστι γὰρ αὐτοῦ ἓν μὲν ἐν ἀλαζονείᾳ, ἓν δὲ εἰρωνεία, ἓν δὲ κερτόμησις, ἓν δὲ ψευδολογία τις μετὰ βλάβης. ὁ μὲν οὖν ἀλαζονευόμενος ἐπὶ πλεῖον καὶ μεῖζον ψεύδεται· προσποιητικὸς γάρ ἐστιν ὃ οὐκ οἶδεν εἰδέναι θέλων καὶ ἅπερ οὐκ ἔχει ἔχειν. ὁ δὲ εἰρωνευόμενος ἐπὶ τὸ ἔλαττον ψεύδεται· ὅ τε γὰρ πλούσιος

---

4 σώφρονα: σύμφρονα M 5 δὲ add. Wendl. 16 fort. ἀλαζονεία om. ἐν 18 προσποιητικὸς Wendl.: προσποιητὸς M

---

[47] vide p. XXXI. XXXIII.

[49] Aristoteles: Eth. Nic. p. 1108 a 19: περὶ μὲν οὖν τὸ ἀληθὲς ὁ μὲν μέσος ἀληθής τις καὶ ἡ μεσότης ἀλήθεια λεγέσθω, ἡ δὲ προσποίησις ἡ μὲν ἐπὶ τὸ μεῖζον ἀλαζονεία καὶ ὁ ἔχων αὐτὴν ἀλαζών, ἡ δὲ ἐπὶ τὸ ἔλαττον εἰρωνεία καὶ εἴρων. (cf. 1127 a 21: δοκεῖ δὴ ὁ μὲν ἀλαζὼν προσποιητικὸς τῶν ἐνδόξων εἶναι καὶ μὴ ὑπαρχόντων καὶ μειζόνων ἢ ὑπάρχει, ὁ δὲ εἴρων ἀνάπαλιν ἀρνεῖσθαι τὰ ὑπάρχοντα ἢ ἐλάττω ποιεῖν et quae sequ. cf. Eth. Eud. p. 1221 a 6.
cf. Theophr. charact. I. XXIII et comm. Soc. Phil. Lips. ad ll.

πένης φησὶν εἶναι, ἐὰν εἰρωνεύηται, καὶ ὁ σοφὸς οὐκ εἶναι σοφός. ὁ δὲ ἐν τῷ κερτομεῖν ψευδολογῶν μετὰ τοῦ σκώπτειν, οἷον ⟨ὁ⟩ τὸ ἡττᾶσθαι κρατεῖν ἢ καλὸν τὸ κακὸν λέγων καὶ σοφὸν τὸ ἀπαίδευτον, ὁ δὲ μετὰ βλάβης, οἷον ὁ τὰ ψευδῆ μαρτυρῶν καὶ ἀπαρνούμενος καὶ τἆλλα τὰ τοιαῦτα.

[50] ὁ ψευδόμενος.

διαιρεῖται ὁ ψευδόμενος εἰς δύο. ὁ μὲν γὰρ ἑκὼν ψεύδεται, ὁ δὲ ἄκων. ὁ μὲν οὖν ἑκὼν ψευδόμενος ἐξαπατᾷ τινας καὶ ἄλλοις ἀπάτην ἐμποιεῖ, ὁ δὲ ἄκων ψευδόμενος αὐτὸς ἐξηπατημένος ψεύδεται ἀπὸ τῆς ἐν αὐτῷ ἀπάτης οὔσης.

[51] vide D. L. 14.
[52] vide D. L. 16.
[53] vide D. L. 22.

[54] ὁ καθαρισμός καὶ ἡ κάθαρσις.

διαιρεῖται ὁ καθαρισμὸς καὶ ἡ κάθαρσις εἰς τρία. ἔστι γὰρ αὐτῶν ἓν μὲν νόμῳ, ἓν δὲ φύσει, ἓν δὲ τέχνῃ καὶ

---

3 ὁ add. Wendl. | λέγων Rose: λέγειν legit C. Wilke
9 ἄλλοις: ἄλλως M

---

[50] vide p. XX et Wendlandium, Betrogene Betrüger, Mus. Rhen. IL 1894 p. 309 sqq.

vide Platonis Hipp. min. passim. Legg. V p. 730 C.

Aristoteles: Met. p. 1025 a 2: ἄνθρωπος δὲ ψευδὴς ὁ εὐχερὴς καὶ προαιρετικὸς τῶν τοιούτων λόγων, μὴ δι' ἕτερόν τι ἀλλὰ δι' αὐτό, καὶ ὁ ἄλλοις ἐμποιητικὸς τῶν τοιούτων λόγων κτλ.

Gell. N. A. XI 11: Verba sunt ipsa haec P. Nigidii, hominis in studiis bonarum artium praecellentis, quem M. Cicero ingenii doctrinarumque nomine summe reveritus est: Inter mendacium dicere et mentiri distat. Qui mentitur, ipse non fallitur, alterum fallere conatur; qui mendacium dicit, ipse fallitur. Item hoc addidit: Qui mentitur, inquit, fallit, quantum in se est; at qui mendacium dicit, ipse non fallit, quantum in se est.

πράγματι. νόμῳ μὲν οὖν ἐστι καθαρμός ⟨........, φύσει δὲ,⟩ οἷον ὅ τε τοῦ ἀέρος, ὅταν ἀποκαθαίρηται καὶ ὅταν ⟨τὰ⟩ ὕδατα ὦσι καθαρὰ καὶ τὰ βρώματα καὶ πάντα ⟨τὰ τοιαῦτα⟩. τέχνῃ δὲ καὶ πράγματι, οἷον ἥ τε τῶν χαλκωμάτων καὶ τῶν ἱματίων πλύσις καὶ τὰ τοιαῦτα.

[55] vide D. L. 24.

[56] *τῶν [ὄντων] ἀγαθῶν ὁμοιότης.*

τῶν [ὄντων] ἀγαθῶν ὁμοιότης τῶν περὶ τὴν ψυχὴν καὶ τῶν περὶ τὸ σῶμα καὶ τῶν ἐκτός ἐστιν αὕτη· τὰ μὲν οὖν πρῶτα τοῖς πρώτοις ἐστὶν ὅμοια, τὰ δὲ δεύτερα τοῖς δευτέροις, τὰ δὲ τρίτα τοῖς τρίτοις, τὰ δὲ τέταρτα τοῖς τετάρτοις. ἔστι δὲ τὰ μὲν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός.

ἡ μὲν γὰρ φρόνησις ἐν ψυχῇ οὖσα αἰτία ἐστὶ τοῦ κράτιστα τὴν ψυχὴν διακεῖσθαι, ἡ δὲ εὐεξία αἰτία ἐστὶ τοῦ τὸ σῶμα ἄριστα διακεῖσθαι, ⟨ἡ δὲ εὐδοξία αἰτία ἐστὶ τοῦ τὰ ἐκτὸς ἄριστα διακεῖσθαι⟩· ὅπερ γὰρ βούλεται πράττει ὁ εὐδοξῶν. ἕκαστον ἄρα τούτων τῶν ἀγαθῶν πρωταγωνιστεῖ καὶ πρώτη λαμβάνεται ⟨ταύτῃ⟩ ἡ ὁμοιότης.

καὶ πάλιν ἡ μὲν δικαιοσύνη ἐν ψυχῇ ἐστιν ἡ καὶ αἰτία οὖσα τῶν τῆς ψυχῆς μερῶν, ἡ δὲ εὐπρέπεια ἐν σώματι οὖσα εὐταξία ἐστὶ τῶν τοῦ σώματος μερῶν, ψυχροῦ καὶ θερμοῦ καὶ ξηροῦ καὶ ὑγροῦ, ἡ δὲ εὐτυχία ἐκτὸς οὖσα

---

1 hic lacunam recte statuit Kalbfleisch. Videtur lustratio religiosa significari 2 *τὰ* add. Rose 3 *ὦσι* Rose: *εἰσί* M | *τὰ τοιαῦτα* add. Rose, qui post haec prave lacunam statuit 8 *τῶν* ⟨ $^{\gamma}$*ἀγαθῶν*, $^{\beta}$*ὄντων* M, quae ratio corrigendi saepe invenitur; *τῶν ὄντων* delendum est (coll. p. 61, 15) 15/16 lacunam supplevi coll. p. 61 v. 24/25 19 e. gr. conicio *ἐν ψυχῇ οὖσα εὐκοσμία* (sive *ἁρμονία*) *ἐστὶ τῶν τῆς ψυχῆς μερῶν* | *ἥ* M: corr. Rose

---

[54] vide p. XXXI.
[56] vide p. XXVIII sqq.

εὐκαιρία τίς ἐστι πραγμάτων συμπτώσεως. ὥστε ταύτῃ πάλιν παραλαμβάνεται ἡ ὁμοιότης τῶν ἀγαθῶν.

καὶ πάλιν ἡ μὲν ἀνδρεία ἐν ψυχῇ οὖσα ἰσχύς τίς ἐστι καὶ ῥώμη πρὸς φόβους καὶ τὰ τοιαῦτα, ἡ δὲ ἰσχὺς ἐν σώματι οὖσα πρὸς τοὺς πόνους καὶ τὰς κακοπαθείας ἰσχύς ἐστιν, οἱ δὲ φίλοι ἐκτὸς ὄντες ἰσχὺν τήνδε ἔχουσι πρὸς τὴν ἐκτὸς βοήθειαν· ᾧ γὰρ πολλοὶ φίλοι εἰσὶν ἰσχυρότερος οὗτος ἐν πόλει. λαμβάνεται δὲ καὶ ταύτῃ τῶν ἀγαθῶν τούτων ⟨ἡ⟩ ὁμοιότης.

καὶ πάλιν ἡ μὲν σωφροσύνη ἐν ψυχῇ οὖσα κοσμεῖ τὴν ψυχὴν καὶ συμμέτρως ζῆν ποεῖ, τὸ δὲ κάλλος ἐν σώματι ὂν κοσμεῖ τὸ σῶμα καὶ σύμμετρον παρασκευάζει, ὁ δὲ πλοῦτος ἐκτὸς ὢν χορηγὸς καὶ κοσμητὴς τῶν ἀνθρώπων ἐστίν. καὶ ταύτῃ λαμβάνεται τῶν ἀγαθῶν τούτων ἡ ὁμοιότης.

[57] τῶν κακῶν ὁμοιότης.

f.[56] τῶν ἀγαθῶν ὁμοιότης

τῶν κακῶν ὁμοιότης τῶν περὶ τὴν ψυχὴν καὶ ⟨τῶν περὶ⟩ τὸ σῶμα καὶ τῶν ἐκτός ἐστιν αὕτη.

ἐν τῇ ψυχῇ μέν ἐστιν ἀδικία κάκιστα τὴν ψυχὴν διατιθεῖσα, ἐν δὲ τῷ σώματι νόσος κάκιστα διατιθεῖσα τὸ σῶμα, ἐν δὲ τοῖς ἐκτὸς ἀτυχία κάκιστα διατιθεῖσα τὰς ἐκτὸς πράξεις· καὶ ταύτῃ λαμβάνεται ἡ ὁμοιότης τῶν κακῶν τούτων.

καὶ πάλιν ἐν μὲν ψυχῇ ἀφροσύνη ἀρρωστία τίς ἐστι καὶ ἀλογιστία ψυχῆς, ἐν δὲ σώματι καχεξία ἀρρωστία ἐστίν, ἐν δὲ τοῖς ἐκτὸς ἀδοξία· προπηλακισμὸν γὰρ καὶ ἀρρωστίαν καὶ ὀλιγωρίαν περὶ τὰ ἄλλα τινὰ ἐμποιεῖ ταῖς ἐκτὸς πράξεσι. καὶ ταύτῃ πάλιν λαμβάνεται τῶν κακῶν τούτων ἡ ὁμοιότης.

καὶ πάλιν ἐν μὲν ψυχῇ δειλία οὖσα ἐκπληκτικὰς καὶ πάντων ἥττους τῶν φόβων παρασκευάζει τὰς ψυχάς, ἐν δὲ

---

6 ἔχουσι corr. ex ἔχουσα 16 τῶν περὶ addidi coll. p. 60, 9 19 ἐν — διατιθεῖσα in marg. sin. adi. 25 περὶ τὰ corrupta; περιττὰ vel similia latere censet Wendl.

---

[57] vide p. XXVIII sqq.!

σώματι ἀσθένεια πάντων τῶν πόνων ἡττᾶσθαι τὰ σώματα παρασκευάζει, ἐν δὲ τοῖς ἐκτὸς ἐχθροὶ ὄντες ἀσθενῆ περὶ τὰς ἐκτὸς πράξεις καὶ εὐκαταφρόνητον ποιοῦσιν· ᾧ γὰρ πολλοί εἰσιν ἐχθροὶ οὐδὲν τούτῳ ῥαδίως ὑπάρχει. καὶ ἔστιν ἡ μὲν δειλία ἐν φόβῳ εὐκαταφρονήτους ποιοῦσα, ἡ δὲ ἀσθένεια ἐν πόνοις εὐκαταφρόνητον τὸ σῶμα ποιεῖ, ἡ δὲ ἔχθρα ἐν πράξεσι ταῖς ἐν βίῳ.

καὶ πάλιν ἡ μὲν ἀσωτία καὶ ἀκολασία αἰσχρὰν τὴν ψυχὴν καὶ ἄκοσμον παρασκευάζει, τὸ δὲ αἶσχος ἐν σώματι ὂν αἰσχρὸν τὸ σῶμα καὶ ἄκοσμον παρασκευάζει, ἡ δὲ πενία ἐκτὸς οὖσα αἰσχρὸν βίον παρασκευάζει. καὶ ταύτῃ λαμβάνεται τῶν κακῶν τούτων ἡ ὁμοιότης.

[58] vide D. L. 2.

[59] ἡ ἀποβολὴ τῆς ἐπιστήμης.

διαιρεῖται ἡ ἀποβολὴ τῆς ἐπιστήμης εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐὰν φθαρῇ οὗπέρ ἐστιν ἡ ἐπιστήμη, ἓν δὲ ἐὰν λήθη γένηται, ἓν δὲ ἐὰν ὁ ἔχων τὴν ἐπιστήμην φθαρῇ. ἐὰν μὲν οὖν οὗ ἐστιν ἡ ἐπιστήμη φθαρῇ οἷον Σωκράτης, οὐκ ἔτι ἔστιν ἐπιστήμη· ἔφθαρται γάρ. ἐὰν δὲ λήθη γένηται, καὶ οὕτως ἀποβάλλομεν τὴν ἐπιστήμην. ἐὰν δὲ ὁ ἔχων τὴν ἐπιστήμην φθαρῇ ἄνθρωπος, ἀναγκαῖόν ἐστι συμφθείρεσθαι καὶ ἀποβάλλεσθαι αὐτήν.

17—20 miro modo tertia pars eadem est atque prima
18 Σωκράτης Wendl.: Σωκράτους M quod tuetur Sudh.
20 ἀποβάλλομεν: ἀποβάλλωμεν M

---

[59] cf. θέσιν quam Cicero de or. III 114 e Peripateticorum aut Academicorum libro quodam περὶ θέσεων inscripto (vide III 109) affert: Num interire virtus in homine aut num in vitium possit convertere? (ἡ ἐπιστήμη est virtus Aristotelica, vide Eth. Nic. p. 1139 b 16).

[60] vide D. L. 9.
[61] vide D. L. 6.
[62] vide D. L. 11.
[63] vide D. L. 14.

[64] *τὰ ζῷα — γένος καὶ εἶδος.*

σκεπτέον ἥτις ἐστὶ τῶν ζῴων πρὸς ἄλληλα διαφορά. φαμὲν οὖν εἶναι τῶν ζῴων τὰ μὲν θνητά, τὰ δὲ ἀθάνατα. θνητὰ μὲν οὖν εἰσι ὅσα πέφυκε φθείρεσθαι καὶ αἵματος κοινωνεῖν, οἷον ἄνθρωπος καὶ βοῦς καὶ τὰ τοιαῦτα τῶν ζῴων· ἀθάνατα δὲ οἷον ἄγγελοι. τῶν δὲ θνητῶν ζῴων τὰ μέν ἐστι πτηνά, τὰ δὲ ἔνυδρα, τὰ δὲ πεζά. πεζὰ μὲν οὖν εἰσὶν οἷον ἄνθρωπος κύων ἵππος καὶ τὰ τοιαῦτα ⟨, ἔνυδρα δὲ . . . . καὶ τὰ τοιαῦτα⟩ καὶ ἁπλῶς οἷς ἡ διαγωγὴ ἐν ὑγρῷ ἐστι, πτηνὰ δὲ οἷον ὄρνιθες καὶ σφῆκες καὶ μέλισσαι καὶ ἄλλα ὅσα [τοιαῦτα ἃ] διὰ τῆς οἰκείας φύσεως ὀχοῦνται κατὰ τὸν ἀέρα. πάντα δὲ τὰ τοιαῦτα καὶ κατὰ ψυχὴν καὶ κατὰ τὸ σῶμα δοκεῖ διαφέρειν ἀλλήλων. ὅτι μὲν οὖν κοινῶς κατὰ πάντων τούτων κατηγορεῖται ζῷον εἶναι δῆλον, διαφορὰν δέ τινα ἔχει τούτων ἕκαστον καθάπερ εἴπομεν· τὸ μὲν γὰρ αὐτῶν πεζόν, τὸ δὲ ἔνυδρον, τὸ δὲ πτηνόν, τὸ δὲ ἀθάνατον. τὸ δὲ κοινὸν κατηγορούμενον ἐφ' ἁπάντων φαμὲν εἶναι τὸ γένος. ἕκαστον δὲ τούτων ἐστὶ ζῷον, τὰ δὲ διαιρεθέντα τῶν ζῴων λεκτέον εἴδη εἶναι.

τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ σχήματος καὶ ἀριθμοῦ. τοῦ τε γὰρ τριγώνου καὶ τῶν λοιπῶν κοινόν φαμεν εἶναι τὸ σχῆμα· τούτων γὰρ ἕκαστόν ἐστιν ὅπερ ὑπάρχει σχῆμά τι. δῆλον οὖν ὅτι τὸ μὲν σχῆμα γένος ἂν εἴη τούτων,

---

12/13 lacunam suppl. Wendl. 15 τοιαῦτα ἃ del. Wendl.
18 ⟨τὸ⟩ ζῷον aut εἶναι del. Wendl. | δῆλον supr. lin. M²
26 ὅπερ: ᾧπερ coni. Wendl.

---

[64] cf. Hambruch p. 6 sqq.

ταῦτα δὲ τοῦ σχήματος εἴδη· τὸ γὰρ σχῆμα διαιρήσομεν εἰς τρίγωνον καὶ τετράγωνον καὶ τὰ λοιπά. ὁμοίως δὲ καὶ τὸ περιττὸν καὶ τὸ ἄρτιον εἴδη τοῦ ἀριθμοῦ ἐστι. κοινῇ γὰρ αὐτῶν κατηγορεῖται ὁ ἀριθμός. ἐπεὶ δὲ τὸ μὲν γένος δοκεῖ πρότερον εἶναι τοῦ εἴδους, τὸ δὲ πρότερον οὐχ ἁπλῶς λέγεται, εἴπωμεν περὶ αὐτοῦ.

[65] **τὸ πρότερον — τὸ ὕστερον.**

τὸ πρότερον λέγεται πενταχῶς. ἢ γὰρ φύσει ἢ χρόνῳ ἢ δυνάμει ἢ θέσει ἢ τάξει λεχθήσεται. θέσει μὲν οὖν, οἷον ὃ ἐπὶ τῶν κειμένων ψήφων εἰώθαμεν λέγειν, οἷον ὅτι προτέρα αὕτη ταύτης. τάξει δέ, οἷον ὁ ταξίαρχος τοῦ λοχαγοῦ καὶ ὁ λοχαγὸς τοῦ ἰδιώτου καὶ τὸ $\bar{\alpha}$ τοῦ $\bar{\beta}$. δυνάμει δέ φαμεν εἶναι πρότερον τὸν στρατηγὸν τοῦ στρατιώτου καὶ ἁπλῶς τὸν δυνάστην τοῦ ἰδιώτου. χρόνῳ δέ, οἷον πατὴρ υἱοῦ καὶ πᾶν τὸ πρεσβύτερον τοῦ νεωτέρου. φύσει δέ ἐστι πρότερον, οἷον ἥ τε μονὰς τῆς δυάδος καὶ τὸ μέρος τοῦ ὅλου καὶ τὸ γένος τοῦ εἴδους, καὶ ἁπλῶς ὅσα αὐτὰ ἀλλήλοις μὴ συναναιρεῖται, τούτων τὸ μὲν συναναιροῦν πρότερόν ἐστι, τὸ φύσει δὲ συναναιρούμενον ὕστερον· οἷον τῆς μονάδος ἀναιρεθείσης ἡ δυὰς ἀναιρεῖται καὶ πᾶς ἀριθμός, δυάδος δὲ ἀναιρεθείσης οὐδὲν κωλύει μονάδα εἶναι· πρότερον τοίνυν τῇ φύσει μονὰς δυάδος. ὁμοίως δὲ καὶ τοῦ μέρους ἀναιρεθέντος τὸ ὅλον ἀναιρεῖται, τοῦ δὲ ὅλου μὴ ὄντος οὐδὲν κωλύει τὸ μέρος εἶναι.

φανερὸν δὲ ὅτι ὁσαχῶς τὸ πρότερον λέγεται, τοσαυταχῶς καὶ τὸ ὕστερον λεχθήσεται· τὸ γὰρ ὕστερον ἐροῦμεν ἢ φύσει ἢ χρόνῳ ἢ θέσει ἢ τάξει ἢ δυνάμει.

---

6 olim fortasse *καὶ περὶ τούτου* Wendl. 11 *προτέρα* M: *πρότερον* Rose perperam | *λοχαγοῦ* M: *λόχου* Rose perperam 17 *γένος* M clare 18 *συναναιροῦν* Wendl.: *οὖν ἀναιροῦν* M 19 *δὲ* supr. lin. M[2]

---

[65] cf. Hambruch p. 8 sqq.

[66] *τὸ ἅμα.*

ὁσαχῶς τὸ πρότερον καὶ τὸ ὕστερον λέγεται, τοσαυταχῶς καὶ περὶ τοῦ ἅμα λεχθήσεται, οἷον ἢ φύσει ἢ θέσει ἢ δυνάμει ἢ χρόνῳ ἢ τάξει. θέσει μὲν οὖν εἰσι τὰ τοιαῦτα ἅμα, ὅσα τῷ τόπῳ ἐξ ἴσου ἐστίν, οἷον τὰ τρέχοντα ἅμα φαμὲν εἶναι καὶ τὰ ἑστηκότα. τάξει δέ ἐστιν τὰ τοιαῦτα ἅμα, οἷον οἱ τοῖς ζυγοῖς στοιχοῦντες, δυνάμει δὲ ἅμα λέγομεν τὰ μηδὲν ἀλλήλων πλέον δυνάμενα, χρόνῳ δὲ τὰ τοιαῦτα φαμὲν εἶναι ἅμα τὰ κατὰ τὸν αὐτὸν χρόνον ὄντα, φύσει δὲ λεκτέον ἅμα εἶναι τά τε συναναιροῦντα ἄλληλα καὶ τὰ μὴ δυνάμενα χωρὶς ἀλλήλων εἶναι, οἷον τό τε διπλάσιον καὶ τὸ ἥμισυ· ταῦτα γὰρ συναναιροῦνται ἀλλήλοις καὶ τὸ ἕτερον χωρὶς τοῦ ἑτέρου ἀδύνατον εἶναι· διπλασίου γὰρ ἀναιρεθέντος οὐκ ἔσται ἥμισυ καὶ ἡμίσους ἀναιρεθέντος οὐκ ἔσται διπλάσιον καὶ ἀδύνατόν ἐστι διπλασίου ὄντος μὴ εἶναι ἥμισυ.

τούτων οὕτως ἀποδειχθέντων ἀκόλουθον εἰπεῖν περὶ τῶν ὄντων.

[67] vide D. L. 32.

[68] *τὰ ἐναντία.*

διαιροῦνται τὰ ἐναντία οὕτως. τῶν ὄντων τῶν μὲν ἔστι τι ἐναντίον, τῶν δὲ οὔ. χρυσῷ μὲν γὰρ καὶ ἀνθρώπῳ καὶ ἱματίῳ καὶ τοῖς τοιούτοις οὐδέν ἐστιν ἐναντίον, ἀρετῇ δὲ καὶ ἀγαθῷ καὶ θερμῷ ἔστι ⟨τι⟩ ἐναντίον· ἀγαθῷ μὲν γὰρ ἐναντίον τὸ κακόν, ἀρετῇ δὲ κακία, θερμῷ δὲ ψυχρόν. τῶν ἐναντίων τοίνυν αὐτῶν τὰ μὲν ἔχουσί τι ἀνὰ μέσον, τὰ δὲ οὔ. ἀγαθοῦ μὲν γὰρ καὶ κακοῦ ἔστι τι ἀνὰ μέσον, κινήσεως δὲ καὶ ἠρεμίας οὐδέν ἐστιν ἀνὰ μέσον· ἐξ ἀνάγκης

3 *περὶ τοῦ*: malim *τὸ*   4 *τὰ* supr. lin. M   20 *τῶν* prius: *ὧν* M   23 *ἀγαθῶν* M

[66] cf. Hambruch p. 11.
[68] cf. Hambruch p. 12 sqq.

γὰρ πάντα ἢ κινεῖται ἢ ἠρεμεῖ. καὶ ζωῆς καὶ θανάτου οὐδέν ἐστιν ἀνὰ μέσον· ἐξ ἀνάγκης γὰρ ὅπερ τῆς ζωῆς f. 27 [23] δεκτικόν ἐστιν, ἢ ζῇ ἢ τέθνηκεν. | αὐτὰ δὲ τὰ ἐναντία λέγεται τριττῶς· ἢ γὰρ ὡς ἀγαθῷ κακὸν ἐναντίον ἐστίν, οἷον τῇ δικαιοσύνῃ ἡ ἀδικία καὶ τῇ σωφροσύνῃ ἡ ἀκολασία καὶ τὰ τοιαῦτα, ἢ ὡς οὐδέτερον οὐδετέρῳ ἐναντίον ἐστίν ⟨οἷον ....⟩· τούτων γὰρ οὐδέν ἐστιν οὔτε κακὸν οὔτε ἀγαθόν. ὡς κακὸν κακῷ δὲ ἐναντίον ἐστὶν [κακὸν] ἡ ὑπερβολὴ τῇ ἐνδείᾳ καὶ τὰ καθ' ὑπερβολὴν καὶ ἔλλειψιν λεγόμενα, οἷον τὸ ὑπερβαλλόντως ψύχεσθαι ⟨τῷ ὑπερβαλλόντως θερμοῦσθαι⟩· ταῦτα γὰρ καθ' ὑπερβολὴν λέγεται. καὶ τὸ ἐλλεῖπον τοῦ θερμοῦ τῷ ἐλλείποντι τοῦ ψυχροῦ· καὶ γὰρ ταῦτα κατ' ἔλλειψιν ἐναντία.

[69] περὶ καταφάσεως καὶ ἀποφάσεως.

μετὰ ταῦτα τοίνυν περὶ καταφάσεως σκεπτέον πῶς λέγομεν. φαμὲν οὖν πᾶσαν κατηγορίαν ᾗ δηλοῦμεν ὑπάρχειν τι κατάφασιν εἶναι, οἷον τὸ καθῆσθαι τὸν ἄνθρωπον ἢ λευκὸν εἶναι τὸ ἱμάτιον καὶ πάντα τὰ τοῦτον τὸν τρόπον λεγόμενα. ἀπόφασις δέ ἐστι τοιοῦτον οἷον τὸ μὴ καθῆσθαι τὸν ἄνθρωπον καὶ τὸ μὴ λευκὸν εἶναι τὸ ἱμάτιον καὶ ἁπλῶς οὗ τὸ μὴ ἢ τὸ οὐ προστεθὲν σημαίνει μὴ ὑπάρχειν τι.

2—3 ὅπερ — ἐστιν comp. scr. M: textum dedi Roseum secutus 4 τριττῶς: περιττῶς M (eadem corruptela apud Anax. p. 19, 1 Sp.-H. invenitur) 7 lacunam a Valentino Rose indicatam e div. [23] sic fere suppleas: ⟨οἷον λευκότης μελανότητι καὶ κουφότης βαρύτητι καὶ τὰ τοιαῦτα⟩ 11 lacunam supplevi. 21 οὗ: malim ᾧ

A.

Index verborum memorabilium.

B.

Loci auctorum.

[redacted]

[redacted]

Date Due

JUN - [illegible] '53	J P Maguire		
JUN [illegible] '66	Maguire		



161236

161236

Aristoteles.
Author

Divisiones quae vulgo dicun
Title

ARISTOTLES

BOSTON COLLEGE LIBRARY
UNIVERSITY HEIGHTS
CHESTNUT HILL, MASS.

Books may be kept for two weeks and may be renewed for the same period, unless reserved.

Two cents a day is charged for each book kept overtime.

If you cannot find what you want, ask the Librarian who will be glad to help you.

The borrower is responsible for books drawn on his card and for all fines accruing on the same.